διάκρισιν μέγαν ἀποκαλοῦμεν, εἶναι ὁ ἀνωτέρω περιγραφεὶς τοῦ χρονικοῦ τοῦ Μαχαιρᾶ· ἐν τούτῳ ὁ Βουστρώνιος ἐλλειπὴς τήν τε ἀρχὴν καὶ τὸ τέλος καταλαμβάνει τὰ φύλλα 308-400. Καὶ τὸ μὲν χρονικὸν τοῦ Μαχαιρᾶ περατοῦται, ὡς προερρέθη, ἐν τῷ φύλλῳ 305, μετὰ δὲ τοῦτο ἐλλείπουσι τὰ φύλλα 306 καὶ 307 τὰ περιέχοντα τὴν ἀρχὴν τοῦ Βουστρωνίου, ὅστις ἐν τούτῳ ἄρχεται ἐκ τῆς λέξεως σκάλαν, καθὰ ἐν τῇ ἐκδόσει (σελ. 414) ὑποσημειοῦται. Καὶ μέχρι μὲν τοῦ φύλλου 365 καλῶς βαίνει ἥ τε ἀρίθμησις καὶ τὸ κείμενον· ἀμέσως δ' ἐλλείπουσιν οἱ ἀριθμοὶ 366 καὶ 367, ὅθεν καὶ προέρχεται ἡ ἐν τῇ ἐκδόσει (σελ. 489-491) ὑποσημειωθεῖσα διακοπή. Ἐκτὸς δὲ τούτων ἐλλείπει καὶ τὸ φύλλον 392, ἐπερχομένου χάσματος ἀπὸ τῆς τελευταίας παραγράφου « Καὶ τὴν αὐτὴν ἡμέραν (σελ. 524, στίχ. 28) μέχρι τῆς λέξεως « τὲ Νόρες » (σελ. 526, στίχ. 10). Τελευτᾷ δὲ ὁ κῶδιξ ἐν τῇ λέξει « Φράγκους » καθὰ ὑποσημειοῦται ἐν σελ. 537.

Ἐκ τοῦ μεγάλου τούτου κώδικος οὐ μόνον ὑπεσημείωσα τὰς διαφόρους γραφὰς πρὸς τὸν ἐκδιδόμενον μικρόν, ἀλλὰ καὶ ἀνεπλήρωσα τὸ ἐκ τῆς προρρηθείσης ἐλλείψεως τῶν δύο φύλλων τοῦ ις΄ ὀκταδίου ἐπερχόμενον ἐν τούτῳ χάσμα (σελ. 531-533).

Ἐκ δὲ τῶν ὑπὸ τοῦ κυρίου Mas Latrie δημοσιευθέντων δύο ἀποσπασμάτων ἐκ τοῦ Βρεττανικοῦ κώδικος κρίνω ὅτι διάφοροι γραφαὶ καὶ ἐν τούτῳ ὑπάρχουσιν, ἀποτέλεσμα οὖσαι ἐπὶ τὸ πολὺ καὶ τῆς ἀμαθείας τοῦ ἀντιγραφέως, πολὺ νεωτέρου τῶν γραψάντων τοὺς ἐν τῇ Μαρκιανῇ· οὗτος οὐ μόνον κατὰ τὸ δοκοῦν μεταποιεῖ φράσεις καὶ λέξεις, ἀλλὰ καὶ τὰς χρονολογίας ἀκρωτηριάζει. Ἐκ τοῦ τελευταίου τούτου ἀπογράφου ἔλαβον τῇ καλοκἀγάθῳ ἐπιμελείᾳ τοῦ ἐν Λονδίνῳ φίλου κυρίου Δ. Βικέλα τὸ ἐξ ἀμφοτέρων τῶν ἑνετικῶν κωδίκων ἐλλεῖπον τέλος τοῦ χρονικοῦ, ὑποσημειώσας (σελ. 543) καὶ τὸ ἐν τῷ ἐσχισμένῳ φύλλῳ τοῦ μεγάλου κώδικος ἀπαντῶν τμημάτιον.

Γ'. Σολομὼν Ροδινοῦ, Χρονικὸν Κύπρου (1570-1585). Περὶ τοῦ συγγραφέως καὶ τοῦ κατὰ πᾶσαν πιθανότητα ἀπολεσθέντος πολυτίμου αὐτοῦ πονήματος (1) γράφει ταῦτα ὁ υἱὸς αὐτοῦ Νεόφυτος. «Δὲν μοῦ φαίνεται νὰ κάμω πρᾶγμα ψόγου ἄξιον, διότι δὲν τὸ κάμνω διὰ καύχησιν ἢ πατρικὴν ἀγάπην, ἂν σιμὰ εἰς ἐκείνους ὅπου εἶπα παρ' ἐπάνω συναριθμήσω καὶ τὸν μακαρίτην τὸν πατέρα μου Σολομὼν τὸν Ροδινὸν ἀπὸ τὴν Ποταμιῶν, μάλιστα γνωρίζω πῶς ἔκαμνα ἄδικον τῆς ὑποθέσεως, ὁποῦ ἐμεταχειρίστηκα. Τοῦτος ὄντας νέος εἰς τὰ σπουδαστήρια τῆς Ἀμμοχούστου ἐγεύτικεν ὀλίγον τίποτις τῶν γραμμάτων, γραμματικῆς, καὶ ποιητικῶν, καὶ ἰταλιανικῆς γλώσσης· ἀπέκει γυρίζωντας εἰς τὸν τόπον του, ἐσυνέβησαν οἱ πόλεμοι ἐναντίον τῆς πατρίδος· τότε αὐτὸς ὡς νέος φιλομαθὴς καὶ ὀξύνους ὁποῦ ἦτον, ἔβαλεν εἰς τὸν νοῦν του νὰ κάμη πρᾶγμα, διὰ τὸ ὁποῖον ἡ σπουδὴ καὶ ἡ ἐπιστήμη του ἦτον πολλὰ ὀλίγη· μὲ τοῦτον παίζωντας ἢ σπουδάζωντας ἐβάλθηκε καὶ ἔγραψεν εἰς τρόπον ἱστορίας ὅσα λόγου καὶ μνήμης ἄξια ἐσυνέβησαν εἰς ἐκεῖνο τὸ νησίν, ἀφόντις ἐφάνηκεν τοῦ ἀντιδίκου ἡ ἀρμάδα εἰς ἐκείνην τὴν θάλασσαν, ἤγουν πῶς εὐγῆκεν ἔξω εἰς τὴν γῆν, τὴν μάχην, τὴν αἰχμαλωσίαν τῆς Λευκοσίας, τὴν παράδοσιν τῆς Ἀμμοχώστου, καὶ καθεξῆς εἴ τι δυστυχία ἤθελε συνέβη τοῦ νησίου ἐκείνου, τουτέστι σεισμοὺς πολυχρονίους, ἀβροχίαις, ἀκρίδες, πεῖναν, θανατικά, καὶ ἄλλα· καὶ ἀκόμη μέσα εἰς ὅλα γράφει, καὶ ἐξηγᾶται μὲ τοὺς μούσχις ὄχι χωρὶς τὸν πρεπάμενον θρῆνον, τὴν πολύκλαυστον πούλησιν τῶν περιφήμων μοναστηρίων, ὁποῦ τὸ τότε εὑρίσκονταν εἰς ἐκεῖνο τὸ νησί.

(1) Θεωρῶ αὐτὸ ἀπολεσθὲν, διότι σεβαστοὶ φίλοι κατ' ἐπίμονον παράκλησίν μου πολὺ ἐρευνήσαντες ἐν Ρώμῃ, ἔνθα ἔμεινεν ἡ βιβλιοθήκη τοῦ Νεοφύτου Ροδινοῦ, δὲν ἠδυνήθησαν νὰ μαθωσί τι περὶ αὐτοῦ, ἐκτὸς ἐὰν ἀπόκειται ἔν τινι τῶν ἀπροσίτων τοῖς πολλοῖς βιβλιοθηκῶν.

Ἐπιδεξήνετον ἀκόμη, ἀμὴ αὐτοδίδακτος, εἰς ζωγραφικήν, καὶ τὰ ὅσα ἔγραφε τὰ ἔδειχνεν ὅσον τοῦ ἦτον δυνατὸν καὶ μὲ τὴν ζωγραφίαν. Αὐτὴν τὴν ἱστορίαν τὴν ἐσύνθεσεν εἰς ἁπλῆν γλῶσσαν, ποτὲ εἰς στίχους πολιτικούς, ποτὲ εἰς πεζὸν μίλημα· ἔσυρεν αὐτὸν τὸν κόπον ἕως δεκαπέντε χρόνους ὕστερα ἀπὸ τὴν αἰχμαλωσίαν. Ἀπέθανεν ἑβδομῆντα χρονῶν ἄνθρωπος» (1).

ΙΑ'. Νεοφύτου τοῦ Ροδινοῦ, περὶ ἡρώων, στρατηγῶν, φιλοσόφων, ἁγίων, καὶ ἄλλων ὀνομαστῶν ἀνθρώπων, ὁποῦ εὐγήκασιν ἀπὸ τὸ νησὶ τῆς Κύπρου. Ἐτυπώθη ἐν Ρώμῃ, παρὰ τῷ Μασκάρδῳ ἔτει τῆς Χριστοῦ γεννήσεως αχνθ'. (εἰς μικρὸν 12, σελ. 203. Περὶ τοῦ συγγραφέως ἐλάλησα ἐν τῇ Νεοελληνικῇ Φιλολογίᾳ (σελ. 266-67). Τὸ δὲ πονημάτιον τοῦτο συνταχθὲν ἐπὶ τῇ βάσει τῶν ἐν τῷ τετάρτῳ τμήματι τῶν λεγομένων Λουζινιανικῶν Στεμμάτων Στεφάνου τοῦ Λουζινιανοῦ καταγραφομένων Κυπρίων ἁγίων καὶ βασιλέων (2), περιέχει καὶ πολυτίμους βιογραφικὰς εἰδήσεις περὶ τῶν μετὰ τὴν ἅλωσιν τῆς νήσου διαλαμψάντων ἐπὶ παιδείᾳ, (σελ. 145-150), ἐκ τῶν ὁποίων οἱ πλεῖστοι ἦσαν σύγχρονοι καὶ φίλοι τοῦ Ροδινοῦ. Ἅπαν δὲ τὸ σύγγραμμα ἀνετυπώθη μετὰ μικρῶν προσθηκῶν ἐν τῇ χρονογραφίᾳ τοῦ ἀρχιμανδρίτου Κυπριανοῦ, περὶ ἧς κατωτέρω).

ΙΒ'. Κρόνικα ἤγουν χρονογραφία τοῦ νησίου τῆς Κύπρου, ἀρχίζωντας ἀπὸ τὸν καιρὸν τοῦ Νῶε

(1) Περὶ ἡρώων κλπ. σελ. 154-156.

(2) Catalogo d' i re santi del regno di Cipro (cap. XX.) — Catalogo dei santi e sante dell' isola di Cipro. — Catalogo delli santi forestieri, e sue reliquie nell' isola di Cipro (cap. XXVII-VIII.) Ἐν τῇ Raccolta di cinque discorsi, intitolate Corone, Padova 1557.

ἕως εἰς τοὺς 1572, μεταγλωττισμένη ἀπὸ λατίνων εἰς Ρωμαίων. (χειρόγραφος ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει μετοχίου τοῦ Παναγίου Τάφου ὑπ' ἀριθμὸν 310, ἐκ φύλλων ἀκριβῶς 100· εἶναι δε μετάφρασις ἐκ τοῦ ἰταλικοῦ τοῦ γνωστοῦ περὶ Κύπρου πονήματος τοῦ Στεφάνου Λουζινιανοῦ Chorograffia et breve istoria universale dell' isola di Cipro. Καὶ ἄγνωστον μὲν ὑπὸ τίνος καὶ πότε ἐξεπονήθη ἡ μετάφρασις αὕτη· τοῦτο δὲ μόνον γινώσκομεν ἐξ ἐπισυνημμένης ἐν τῷ κώδικι ἐπιστολῆς τοῦ ἀρχιεπισκόπου Κύπρου Σιλβέστρου, ὅτι ἐπιμελείᾳ τούτου ἀντιγραφεῖσα ἐξ ἄλλου κώδικος ἐπέμφθη εἰς Κωνσταντινούπολιν πρὸς τὸν γνωστὸν πατριάρχην τῶν Ἱεροσολύμων Χρύσανθον τὸν Νοταρᾶν, ἐπανειλημμένως ζητήσαντα παρὰ τοῦ Σιλβέστρου τό τε ἀντίγραφον τοῦτο καὶ ἄλλας περὶ Κύπρου εἰδήσεις. Ἐκτὸς τῶν ἑκατὸν φύλλων τῆς κυρίως χρονογραφίας, ὁ κῶδιξ περιέχει καὶ ἕτερα 30 φύλλα, 15 ἐν τῇ ἀρχῇ καὶ 15 ἐν τῷ τέλει, προστεθέντα κατόπιν ἐν τῇ συνδέσει. Ἐκ τῶν ἐν τῇ ἀρχῇ φύλλων τὰ 14 ἄγραφα, ἐν δὲ τῷ γεγραμμένῳ περιέχονται σημειώματα περὶ ἀποστάσεων καὶ λιμένων ἀπὸ Ῥόδου πρὸς τὴν Ἀττάλειαν, καὶ ἀπὸ Ἀτταλείας πρὸς τὴν Κύπρον, εἰλημμένα ἐκ τῶν γνωστῶν λιμενοδεικτῶν (πορτολάνων), ἰδίᾳ δὲ τοῦ Τάγια. Ἐκ δὲ τῶν ἐν τέλει φύλλων τὰ 11 ἄγραφα, καὶ τὰ 4 γεγραμμένα περιέχουσι τὸ ἀμέσως κατωτέρω καταγραφόμενον πονημάτιον του Σιλβέστρου (1).

ΙΓ'. Σύντομος περιγραφὴ τῆς νήσου Κύπρου, πεμφθεῖσα πρὸς ἡμᾶς παρὰ τοῦ ἐν αὐτῇ προστατεύοντος ἀρχιεπισκόπου· (ἄρχεται « Αἱ εὑρισκόμεναι ἐν τῇ νήσῳ ταύτῃ, μακαριώτατε δέσποτα, κωμοπόλεις »· ἀ-

(1) Τὴν περιγραφὴν τοῦ κώδικος ὀφείλω εἰς τὴν φιλικὴν προθυμίαν τοῦ γραμματέως τοῦ Μετοχίου ἐλλογίμου κυρίου Παύλου Νεοκλῆ.

ποτείνεται δὲ πρὸς τὸν εἰρημένον πατριάρχην Χρύσανθον ὑπὸ τοῦ συντάξαντος Σιλβέστρου ἀρχιεπισκόπου Κύπρου) (1).

ΙΔ΄. Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου ἐρανισθεῖσα ἐκ διαφόρων ἱστορικῶν καὶ συντεθεῖσα ἁπλῇ φράσει ὑπὸ τοῦ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς ἀρχιμανδρίτου Κυπριανοῦ, ἀρχομένη ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ παρόντος. Ἐνετίῃσιν 1788, παρὰ Ν. Γλυκεῖ (εἰς 4, σελ. θ΄—406). Ὁ συγγραφεὺς τοῦ ἀξιολόγου τούτου πονήματος ἱερομόναχος Κυπριανὸς ἐξ Ἐπισκοπῆς ἢ Κουρίας τῆς Κύπρου, ἕτερος τοῦ ὁμωνύμου Κυπρίου Κυπριανοῦ πατριάρχου Ἀλεξανδρείας (2), ἐξεπαιδεύθη δαπάνῃ τοῦ ἀρχιεπισκόπου Χρυσάνθου ἐν Παταβίῳ, ἀφοῦ πρότερον διέτριψεν ἐν Βενετίᾳ ἐπί τινα χρόνον ἐπαγγελλόμενος τὸν διορθωτὴν ἐν ταῖς τότε ἀκμαζούσαις ἑλληνικαῖς τυπογραφίαις· μετὰ δὲ τὸ πέρας τῶν σπουδῶν αὐτοῦ, κατέγινε δι' ἀποφυγὴν, ὡς λέγει, ἀμελείας, εἰς τὴν ἐξελλήνισιν τῆς ἰταλικῆς χωρογραφίας τῆς Κύπρου Στεφάνου τοῦ Λουζινιανοῦ, σκοπὸν ἔχων μόνον τὴν μετάφρασιν τυπῶσαι. Δεύτεραι ὅμως σκέψεις ἠνάγκασαν τὸν Κυπριανὸν νὰ προτιμήσῃ ἀντὶ τῆς μεταφράσεως ταύτης τὴν συγγραφὴν ἰδίας περὶ Κύπρου μονογραφίας, ὡς λέγει προλογιζόμενος· «ὁ ἀνὴρ (Στέφανος ὁ Λουζινιανὸς) καίτοι ἀξιέπαινος διὰ τὸ μικρὸν καὶ σύντομον ἔργον, διότι εἰπὼν μόνον ὀλίγα περὶ τῶν πόλεων καὶ τοῦ κατοικισμοῦ, περὶ δὲ τῶν ἐξουσιασάντων ἐθνῶν πολὺ σκιωδῶς, καὶ περὶ τῶν ἀπὸ Κωνσταντινουπόλεως δουκῶν παν-

(1) Ὁ Σίλβεστρος οὗτος ἀκμάζων περὶ τὸ ἔτος 1730 ἐξωρίσθη ὑπὸ τῆς Πύλης, ὡς τολμήσας νὰ μεταβῇ εἰς Κωνσταντινούπολιν ὅπως προσκλαυθῇ ἐπὶ τοῖς δυσβαστάκτοις φόροις τοῖς καθ' ἑκάστην ἐπιβαλλομένοις εἰς τοὺς δυστυχεῖς καὶ πενεστάτους Κυπρίους. (Κυπριανοῦ, Ἱστορία Κύπρου, σελ. 314).

(2) Περὶ τούτου ὅρα Σάθα Νεοελληνικὴν φιλολογίαν (σελ. 512-13).

τελῶς σιωπήσας, ἥψατο τῶν ἱερῶν πολέμων τῶν Λατίνων διὰ τὴν ἐλευθερίαν τῆς Ἱερουσαλήμ, εἰς οὓς ἐκτάνθη μὲ ζῆλον ὡς λατῖνος, ἐκεῖθεν τὴν σειρὰν τῶν ὀνομάτων τῶν Λουζινιανῶν καὶ τῆς γενεαλογίας αὐτῶν διελθών, προσθέσας καὶ τοὺς παρὰ φρὰ Καλλεπίου δύο πολέμους, οὓς καὶ αὐτὸς ἐσυμμάζωξεν ἀπὸ τὰ ἡμερολόγια τῶν συσκλαβωθέντων, ἀσυντάκτως καὶ ἐκ τοῦ προχείρου ἐτελείωσε· ἀφήνω πόσον παθητικῶς ὁμιλεῖ διὰ τοὺς ἀνατολικοὺς Ρωμαίους συμπατριώτας του εἰς αὐτὸ τὸ βιβλιάριόν του, καθὸ φράτωρ καὶ τῆς αὐλῆς τῆς Ρώμης παράσιτος (1). Ἀφ' οὗ εἶδον ὅτι πρὸς τοῖς ἄλλοις καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὴν χρονολογίαν ἐλλειπὴς ὁ ἀνήρ, διατὶ ἴσως ὑστερημένος ἀπὸ βιβλία ἱστορικῶν τότε, ἔτρεψα τὸν ὀφθαλμὸν εἰς τὰς ὧδε (ἐν Βενετίᾳ) εὐποροβίβλους βιβλιοθήκας, καὶ ἐξαιρέτως εἰς τὴν αὐθεντικὴν τοῦ ἁγίου Μάρκου, παρ' ἧς τὰ πλείω ἐρανισάμην· ἐρεύνησα λοιπὸν μὲ κόπον καὶ ἐπιμέλειαν ὄχι μικρὰν παλαιοὺς καὶ νεωτέρους ἱστορικοὺς διαφόρων διαλέκτων, καὶ μεταγράφων καὶ μεταφράζων ἐπροσπάθησα ὅσον τὸ δυνατὸν λαμβάνων τὰς ἐννοίας νὰ συνθέσω εἰς τὸ ἁπλοελληνικόν... ἐσπούδασα ὡς δυνατὸν νὰ πλησιάσω εἰς τὸ ἀληθέστερον, μήτε ἀρνοῦμαι πῶς εἴς τινὰ φανέντα ἁρμόδια δὲν ἔδωκα τὴν γνώμην μου, ὡς ἐκ τῆς αὐτῆς γῆς ».

Τὸ πρῶτον μέρος τοῦ συγγράμματος τοῦ Κυπριανοῦ (σελ. 1-64) περιέχει τὴν τοπογραφικὴν καὶ ἱστορικὴν περιγραφὴν τῆς νήσου, συντεταγμένην ἐπὶ τῇ βάσει τῆς τε χωρογραφίας τοῦ Λουζινιανοῦ καὶ ἰδίᾳ τοῦ γνωστοῦ περὶ Κύπρου συγγράμματος τοῦ Ἰωάννου Μεουρσίου. Τὸ δεύτερον μέρος (σελ. 65-119) πε-

(1) Καὶ αὐτὸς δὲ ὁ οἶκος τοῦ ἐν λόγῳ ἱστοριογράφου, καταγόμενος ἐκ τῶν ὁμωνύμων βασιλέων τῆς Κύπρου, ἐπρέσβευε τὸ ἑλληνικὸν θρήσκευμα· μόνος δὲ οὗτος ἐξελατινίσθη καταταχθεὶς ἐν τῷ τάγματι τοῦ ἁγίου Δομινίκου μεταβαλὼν καὶ τὸ ὄνομα αὐτοῦ Ἰάκωβος εἰς Στέφανος (Lusignan, Genéalogies, φύλλ. 96-99). Σημ. Σάθα.

ριλαμβάνον τὴν ἱστορίαν τῆς νήσου ἀπὸ τῶν παναρχαίων χρόνων μέχρι τῆς ὑπὸ Ριχάρδου τοῦ Λεοντοθύμου καταλήψεως αὐτῆς, συνεγράφη ἐπιμελῶς ἐκ διαφόρων πηγῶν, βυζαντινῶν τε καὶ ἀλλογλώσσων. Ἡ δὲ συνεχιζομένη διήγησις (σελ. 119-273) ἀπὸ τῆς ὑπὸ Γουΐδου Λουζινιανοῦ ἀγορᾶς τῆς Κύπρου μέχρι τῆς ἐνετοκρατίας παρελήφθη ἐκ τῆς ἐπ' ὀνόματι τοῦ Ἐρρίκου Ζιβλὲ φερομένης ἱστορίας τῶν Λουζινιανῶν βασιλέων τοῦ ἐνετοῦ Φραγκίσκου τοῦ Λορεδάνου (1). Μετὰ δὲ ταῦτα (σελ. 275-309) ἕπεται ἡ ἐξιστόρησις τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τῆς νήσου ἐκ διαφόρων πηγῶν (2). Ἀκολουθεῖ δὲ (σελ. 309-331) σύντομος ἔκθεσις περὶ τῶν ἐν Κύπρῳ συμβάντων κατὰ τοὺς πρώτους τῆς τουρκοκρατίας χρόνους μέχρι τοῦ ἔτους 1777, συντεταγμένη ἐκ τῶν παρὰ διαφόροις συγγραφεῦσιν ἀπαντωσῶν σποράδην εἰδήσεων καὶ ἔκ τινων σημειωμάτων σταλέντων αὐτῷ (1787) ὑπὸ τοῦ ἀρχιδιακόνου τῆς ἀρχιεπισκοπῆς Κύπρου Ἰωαννικίου. Τὸ τελευταῖον τοῦτο μέρος εἶναι τὸ σπουδαιότερον τοῦ φιλοπονήματος τοῦ Κυπριανοῦ, ὡς περιέχον εἰδήσεις ὡς ἐπὶ τὸ πολὺ ἀγνώστους· οὕτω πρὸς τοῖς ἄλλοις εὕρηται καὶ «σημείωμα

(1) «Ἀκολουθεῖ παρὰ πόδας ἡ τῶν Λατίνων βασιλέων ἱστορία, συνοψισθεῖσα ἀπὸ τῆς τοῦ Ἐνρίκου Γιβλὲτ Φραντζέζου καβαλλιέρου, καὶ αὐτὴ μετὰ συντομίας ὅσον τὸ δυνατόν». σελ. 119.

(2) «Ἐπειδὴ ἐξετάσας διαφόρους ἱστορικούς, οὐδὲν ἄλλο ἀξιοσημείωτον ἔτυχα ἐν τῷ μεταξὺ τῶν ὀγδοήκοντα δύο χρόνων, ὅπου ἡ γαληνοτάτη ἀριστοκρατία τῶν Ἑνετῶν ἐκυβέρνα τὴν νῆσον, εἰμὴ ὅσα εὑρίσκονται διεσπαρμένα εἰς τὴν ἱστορίαν αὐτὴν, διὰ τοῦτο ἀκολουθῶ τοὺς ὑπὸ τῶν Ὀθωμανῶν πολέμους κατὰ τῆς νήσου, τοὺς ὁποίους ἐσύλλεξα ἀπὸ τοὺς ἱστορικοὺς τῶν Ἑνετικῶν πραγμάτων, ἀπὸ τὴν ἱστορίαν τοῦ Λαουγιὲρ Φραντζέζη, ἀπὸ τὴν τοῦ Μπέμπου ἄρχοντος Ἑνετοῦ, καὶ τινὰ ἀπὸ τοῦ φρὰ Καλλεπίου Κυπρίου παρὰ τῷ Στεφάνῳ Λουζινιάνῳ, ὡς αἰχμαλωτισθέντος εἰς τὸν πόλεμον τῆς Λευκωσίας καὶ εἰδήμονος». Τὸ τελευταῖον τοῦτο τμῆμα τὸ ἐξιστοροῦν τὰ κατὰ τὴν ἅλωσιν ὑπὸ τῶν Τούρκων ἀνετυπώθη ὑφ' ἡμῶν ἐν τῇ Τουρκοκρατουμένῃ Ἑλλάδι.

μιᾶς παλαιᾶς ἀποστασίας τῆς Κύπρου (συμβάσης περὶ τὸ ἔτος 1680), ὅπου ὁ ἄρχων κόνσολος τῆς Φράντζας μονσοῦ Ἀστιὲρ ἐσημείωσε κατὰ τὴν κ' δεκεμβρίου 1764». Τῷ οὕτω τελευτῶντι συγγράμματι ἐπισυνάπτονται καὶ αἱ ἑξῆς περὶ Κύπρου μονογραφίαι, συντεταγμέναι μὲν ὑπ' ἄλλων, ἐπεξειργασμέναι δὲ ὑπὸ τοῦ Κυπριανοῦ — α) Περὶ ἐνδόξων καὶ περιφήμων ὑποκειμένων, ἤτοι περὶ βασιλέων, στρατηγῶν, ἡρώων, ποιητῶν, φιλοσόφων καὶ τεχνίτων Κυπρίων παρὰ Νεοφύτου Ροδινοῦ Κυπρίου, μάλιστα ἐκ τοῦ Ἰωάννου Μεουρτζίου τὰ πλείω ἐρανισθέντα (σελ. 332-362) — β) Περὶ τῶν προϊόντων τῆς νήσου (σελ. 363-369· μετάφρασις ἐκ τῆς χωρογραφίας Στεφάνου τοῦ Λουζινιανοῦ) — γ) Τοῦ μακαριωτάτου καὶ ἀοιδίμου κυρίου Φιλοθέου σημειώσεις περὶ τῆς τῶν Κυπρίων ἐκκλησίας, καὶ ἔκθεσις αὐτοῦ περὶ τῶν προνομίων τῆς αὐτῆς, ἔτει 1740 (σελ. 370-390). Ἐπὶ τῷ τέλει δ' εὕρηται κατάλογος τῶν ἐν Κύπρῳ μονῶν, μετ' ἄλλων τινῶν σημειωμάτων, καὶ συμβουλαὶ τοῖς Κυπρίοις πρὸς θεραπείαν τοῦ δήγματος τοῦ δηλητηριώδους ὄφεως κωφία (κουφῆς).

Τὸ οὕτως ἔχον φιλοπόνημα τοῦ λογίου Κυπρίου εἶναι ἡ μόνη ἐπιστημονικὴ μονογραφία, ἣν παρήγαγεν ἡ νεοελληνικὴ φιλολογία ἀπὸ ἁλώσεως τοῦ Βυζαντίου μέχρι τῆς δημοσιεύσεως τῆς πολυτίμου περὶ Χίου μονογραφίας τοῦ μακαρίτου Βλαστοῦ. Βεβαίως ἡ συγγραφὴ τοῦ Κυπριανοῦ δὲν δύναται νὰ συγκριθῇ πρὸς τὴν περὶ τοὺς αὐτοὺς χρόνους δημοσιευθεῖσαν δίτομον περὶ Κύπρου πραγματείαν τοῦ γερμανοῦ Ραϊνχάρδου, ἥτις πολὺ ὑπερέχει τὴν ἑλληνικὴν κατά τε τὴν ἐπιστημονικὴν διάταξιν, τὴν χρονολογικὴν ἀκρίβειαν καὶ τὴν κριτικὴν ἐξέλεγξιν τῶν πηγῶν· ἔχει ὅμως ἡ πρώτη τὸ πλεονέκτημα νὰ ᾖ πληρεστέρα ἐκείνης, διακοπτομένης ἅμα τῇ ἁλώσει τῆς νήσου ὑπὸ τῶν Ὀθωμανῶν, ὡς συνεχίζουσα τὴν ἱστορίαν μέχρι των ἡμερῶν τοῦ γράφοντος, ὅστις ἀπεθησαύρισε τοσαύτας περὶ τουρκοκρα-

τίας εἰδήσεις, πολυτίμους καὶ διὰ τοὺς νῦν καὶ τοὺς μέλλοντας ἱστοριογράφους τῆς νήσου, οἵτινες ἐπαξίως θέλουσιν ἐγκωμιάσει τὴν φιλοπονίαν τοῦ μακαρίτου Κυπριανοῦ.

ΙΕ'. Κυπριὰς χαρίεσσα, καθιστοροῦσα τὰ ἐν τῇ ὀλβίῳ νήσῳ ταύτῃ μνήμης καὶ διηγήσεως ἐπισημότερα, ὑπὸ Κωνσταντίου ἀρχιεπισκόπου Σιναίου. ('Εν τῷ χαρίεντι τούτῳ πονηματίῳ, τὸ ὁποῖον κατ' ἀξίαν ἐπαινεῖ ὁ κ. Σακελλάριος (1), ἐκτίθησιν ὁ πολυμαθὴς καὶ ἀοίδιμος ἱεράρχης μετὰ μεγίστης συντομίας τὴν ἱστορίαν τῆς νήσου καὶ τὰ ὑπὸ τὴν λατινοκρατίαν παθήματα αὐτῆς. Συνεξεδόθη δὲ τῇ Περιγραφῇ τῆς ἐν Κύπρῳ μονῆς τοῦ Κύκου ('Ενετίῃσιν 1817, σελ. 127-154).

ΙΣΤ'. Σακελλαρίου, Κυπριακά, τόμ. I, καὶ III, ἐν Α'θήναις 1855 καὶ 1868. 'Ο παντὸς ἐπαίνου ἄξιος οὗτος καθηγητὴς ἐπὶ τετραετίαν ὅλην διδάξας ἐν Λάρνακι τῆς Κύπρου (1849-1853), μὴ ἀκολουθῶν τῷ ἀξίῳ μομφῆς παραδείγματι τῶν ἄλλων ὡς ἐπὶ τὸ πολὺ ἐφ' ἃ μὴ δεῖ καταναλισκόντων καὶ γνώσεις καὶ εὐφυΐαν, συνέλαβεν ἐν τῇ νήσῳ ἔτι ὢν τὴν ἀγαθὴν ἰδέαν νὰ προσφέρῃ ἐκ τῶν ἐνόντων τὸν ὀφειλόμενον τῇ πατρίδι φόρον, συγγράφων τρίτομον μονογραφίαν περὶ Κύπρου. Καὶ δὴ ἅμα ἐπανακάμψας εἰς 'Αθήνας ἐδημοσίευσε (1855) τὸν πρῶτον τόμον τῶν Κυπριακῶν, περιέχοντα τὴν τοπογραφικὴν, ἀρχαιολογικὴν καὶ φυσικὴν τῆς νήσου περιγραφήν, περισυνάξας μὲν εἰς ἓν τὰς τῆδε κἀκεῖσε διεσπαρμένας εἰδήσεις, πολλὰ δὲ καὶ αὐτὸς προσθεὶς τῆς ἰδίας αὐτοῦ φιλοπονίας καὶ εὐθυκρισίας ἐξαγόμενα. Δυστυχῶς δὲ οὔτε τὰ μέσα ἔχων πρὸς ἄνετον ἐξα-

(1) Κυπριακὰ, Α, πρόλ. ι'. Καθὰ λέγει ὁ αὐτὸς συγγραφεὺς (ια') « περὶ τῆς ἐνεστώσης τῆς νήσου καταστάσεως ἔγραψεν ἐρανισθεὶς ἐκ τοῦ ἐν Κύπρῳ γαλλικοῦ προξενείου ὁ Δ. Μαργαρίτης φυλλάδιον, δημοσιευθὲν ἐν 'Αθήναις τὸ 1848 ».

κολούθησιν τοῦ ἔργου οὔτε δυνάμενος ἕνεκα τοῦ ἐπαγγέλματος αὐτοῦ νὰ διαμένῃ διαρκῶς ἐν Ἀθήναις, ἠναγκάσθη νὰ διακόψῃ πρὸς καιρὸν τὴν ἔκδοσιν τοῦ συγγράμματος· μόλις δὲ μετὰ παρέλευσιν δεκακαιτριῶν ὅλων ἐτῶν ἠδυνήθη νὰ δημοσιεύσῃ καὶ τὸν τρίτον τόμον, προτιμηθέντα τοῦ ἔτι ἀνεκδότου δευτέρου (1). Ὁ τρίτος οὗτος τόμος, περὶ οὗ σπουδαῖος ἐγένετο λόγος ὑπὸ τῶν ἐν Γαλλίᾳ καὶ Γερμανίᾳ σοφῶν, περιέχει πολύτιμον συλλογὴν Κυπριακῶν ᾀσμάτων, παροιμιῶν, αἰνιγμάτων, παραμυθίων καὶ γλωσσαρίων, τῶν ὁποίων ὁ φιλόπονος συλλογεὺς προέταξε καλὴν μελέτην περὶ τῆς ἐν τῇ νήσῳ παιδείας καὶ γραμματικὴν τῆς Κυπριακῆς διαλέκτου, οὐχὶ μὲν τὴν πρώτην, ὡς λέγει ἀγνοῶν τὴν τοῦ Πέτρου Μερκάδου (2), ἀλλὰ τὴν ἐπιστημονικωτέραν. Δυστυχῶς ὁ κύριος Σακελλάριος ἀφορῶν εἰς μόνην τὴν γλωσσικὴν ἀξίαν τῶν ὑπ' αὐτοῦ δημοσιευομένων ᾀσμάτων, ὀλίγην κατέβαλε προσοχὴν καὶ περὶ τὴν χρονολογικὴν αὐτῶν ταξινόμησιν, ἀποτελοῦσαν τὴν πρωτίστην βάσιν τῶν γλωσσικῶν ἐρευνῶν· ἄλλην ἀξίαν ἔχει γλωσσικὸν μνημεῖον τῆς παρελθούσης ἑκατονταετηρίδος, καὶ σπουδαιοτέραν τὸ αὐτὸ τοῦτο δυνάμενον ν' ἀναχθῇ εἰς πολλὰς ἑκατονταετηρίδας πρότερον. Ἔνια τῶν Κυπριακῶν τούτων ᾀσμάτων δύνανται νὰ ὀνομασθῶσιν ἀληθῶς φιλολογικὴ ἀνακάλυψις, ὡς ὄντα τὰ ἀρχαιότερα καὶ πληρέστερα μνημεῖα τῆς νεωτέρας ἡμῶν δια-

(1) Οὗτος θέλει περιέχει τὴν ἱστορίαν καὶ μυθολογίαν, ἀρχαίαν τε καὶ νεωτέραν.

(2) Τὸ περὶ Κυπριακῆς διαλέκτου σύγγραμμα τοῦ ἐν τῇ νήσῳ ἐπὶ πολὺ διατρίψαντος Φραγκισκανοῦ τούτου μισιοναρίου ἐξεδόθη ὑπὸ τὴν ἐπιγραφήν. « Νέα ἐγκυκλοπαιδεία τῆς ἀποστολῆς τῆς Κύπρου. Nova encyclopaedia missionis apostolicae in regno Cypri, seu institutiones linguae Graecae vulgaris. Romae, 1732 » περιέχει δὲ κυπριακὴν γραμματικὴν, καὶ γλωσσάριον εἰς κυπριακὴν, λατινικὴν, ἰταλικὴν καὶ ἱσπανικὴν διάλεκτον.

λέκτου· τὰ ὑπ' ἀριθμοὺς 2, 3, 4, καὶ 17 ἀνήκοντα εἰς τὸν ἀπελατικὸν καὶ ἀκριτικὸν κύκλον ἔχουσιν ἡλικίαν ἐννέα ὅλων ἑκατονταετηρίδων, ὡς ἐξυμνοῦντα τὰς ἀριστείας τῶν τότε ἀκμασάντων Κωνσταντίνου τοῦ Δούκα καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Βασιλείου τοῦ Διγενῆ, Θεοφυλάκτου τοῦ κλεισουράρχου καὶ Φιλοπάππους τοῦ ἀπελάτου (1). Τῆς αὐτῆς περίπου ἐποχῆς εἶναι καὶ τὸ ᾆσμα ἕκτον. Τὰ ὑπ' ἀριθμοὺς 15 καὶ 16 ὑμνοῦσι τὴν κατὰ τῆς Ἰωάννας Λαλεμᾶ, ἐρωμένης τοῦ Βασιλέως Πέτρου τοῦ Α', σκληρὰν ἐκδίκησιν τῆς βασιλίσσης Ἐλεονόρας τῆς ἐξ Ἀρραγῶνος (2). Τὸ ὑπ' ἀριθμὸν 11 περιγράφει τὴν ὑπὸ τοῦ ἀντάρτου Μεεμέταγα Πογιατζόγλου (1680) ἀπαγχόνισιν ἐν Πάφῳ ἑνὸς τῶν περιφήμων κατασκόπων τοῦ εἰς Κύπρον σταλέντος πρὸς κατάπνιξιν τῆς ἀνταρσίας Μεχμὲτ πασᾶ. Τὸ ὑπ' ἀριθμὸν 30 ᾆσμα τοῦ Χριστοφιδίου ἐποιήθη περὶ τὸ ἔτος 1730, ὅτε ὁ ἀρχιεπίσκοπος Φιλόθεος μετέβη εἰς Κωνσταντινούπολιν ἵνα ἐνεργήσῃ πρὸς ἀπαλλαγὴν τῆς νήσου ἀπὸ τῆς τυραννικῆς

(1) Ἐκ τῶν ἐν τῷ τρίτῳ καὶ δεκάτῳ ἑβδόμῳ ᾄσμασιν ἀναφερομένων Σαρακηνῶν ὁδηγηθεὶς ὁ κ. Σακελλάριος εἴκασεν ὅτι ταῦτα ἐποιήθησαν κατὰ τοὺς χρόνους τῶν εἰς Κύπρον ἐπιδρομῶν τῶν Ἀράβων· καλῶς δὲ παρετήρησε καὶ τὴν σχέσιν τούτων πρὸς τὸ ὑπὸ τοῦ κ. Ζαμπελίου δημοσιευθὲν ᾆσμα περὶ τοῦ υἱοῦ τοῦ Ἀνδρονίκου (Δούκα)· ἀγνοῶν ὅμως ὅτι τόσον οὗτος ὡς καὶ ὁ Διγενὴς εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον, οὐ μόνον δὲν ἐπέμεινεν ἐν τῇ εἰκοτολογίᾳ, ἀλλὰ καὶ ὡς μυθώδη ἥρωα (Κύπριον Ἡρακλέα) παρεδέχθη ἐπὶ τέλους (σελ. 273) τὸν Διγενῆ.

(2) Ἂν οἱ Κύπριοι χρονογράφοι παρεσιώπων τὸ σκανδαλῶδες τοῦτο ἐπεισόδιον, ἠδύνατο νὰ εἰκοτολογηθῇ συγγένεια τῶν Κυπριακῶν τούτων ᾀσμάτων πρὸς τὸ γνωστὸν μυθιστόρημα Θεοδώρου τοῦ Προδρόμου (τὰ κατὰ Ροδάνθην καὶ Δοσικλέα), διότι καὶ ἐν τούτῳ ἡ Κυπρία Μύριλλα ζηλοτυποῦσα πρὸς τὴν δούλην Ροδάνθην (Ροδαφνοῦ ἐν τῷ Κυπρίῳ ᾄσματι) τὰ αὐτὰ σχεδὸν ἐργάζεται πρὸς θανάτωσιν αὐτῆς (τμ. Η', στίχ. 410-530).

δυναστείας τῶν λυμαινομένων αὐτὴν Ὀθωμανῶν. Τὸ ὑπ' ἀριθμὸν 12 ᾆσμα τῆς Ἑμμῆς ἀνάγεται εἰς τὰς ἐν ἔτει 1764-1766 ἀκαταστασίας. Οὕτω δὲ δύνανται νὰ ταξινομηθῶσι καὶ ἄλλα τῶν Κυπριακῶν ᾀσμάτων.

Βεβαίως δὲν δύναταί τις ν' ἀπαιτήσῃ τὸ τέλειον ἐπὶ θέματος μάλιστα, τοῦ ὁποίου ἀγνοοῦνται ἔτι αἱ διαστάσεις. Καλὴν ὅμως ἀρχὴν πρὸς μελέτην τοῦ Κυπριακοῦ ἰδιώματος, τοῦ ὁποίου τοσοῦτον πολλὰ καὶ ποικίλα μνημεῖα περιεσώθησαν (1), ἐνεκαινίασε τὸ φιλοπόνημα τοῦ καθηγητοῦ κ. Σακελλαρίου, τὸν ὁποῖον εἰλικρινῶς προτρέπομεν νὰ ἐγκαταλείψῃ τὰς περὶ τῆς Κύπρου ἱστορικὰς καὶ ἀρχαιολογικὰς μελέτας, αἵτινες εἰς οἷον νῦν περιῆλθον σημεῖον ἀπαιτοῦσι πολυχρόνιον κάματον, καὶ τὸ σπουδαιότερον μέσα πολυειδῆ, τὰ ὁποῖα ἀδύνατον νὰ εὕρῃ ἐν Ἑλλάδι, καὶ ἀφιερωθῇ περὶ τὴν ἀποκλειστικὴν μελέτην τῆς Κυπριακῆς γλώσσης, πρὸς τιμὴν καὶ αὐτοῦ τούτου καὶ τῆς ἑλληνικῆς φιλολογίας.

Τελευτῶν ἐκφράζω τὴν διάπυρον εὐγνωμοσύνην μου πρὸς τὸν ἐν Ἀθήναις νομισματολόγον κύριον Παῦλον Λάμπρον, ὅστις μετὰ τοῦ διακρίνοντος ζήλου ἔσπευσεν ἐκπληρῶν τὴν φιλικὴν παράκλησίν μου ν' ἀποστείλῃ τὴν ἐν τέλει δημοσιευομένην ἐμβριθεστάτην νομισματικὴν πραγματείαν, ὡς καὶ τὰ ἐπισυνημμένα σχέδια τῶν ἐν τῇ πλουσίᾳ αὐτοῦ συλλογῇ ἀποτεθησαυρσμένων ἀνεκδότων καὶ τοσοῦτον πολυτίμων νομισμάτων τῶν ἐπὶ φραγκοκρατίας ἐν Κύπρῳ κοπέντων.

(1) Ἐκτὸς τῶν νῦν ἐκδιδομένων χρονογράφων καὶ τῆς ἀνωτέρω καταγραφείσης Κυπριακῆς συλλογῆς τῆς ἐν Παρισίοις βιβλιοθήκης, τῆς ἐρωτικῆς συλλογῆς Ζαχαρία τοῦ Βουστρωνίου, ὡς καὶ τοῦ ὑπὸ τοῦ καθηγητοῦ **Wagner** ἐκδιδομένου Πουλολόγου, ἀναφέρεται ὑπὸ Ἀλλατίου καὶ τὸ ἑξῆς: « Ἰωάννου Δαμασκηνοῦ λόγος τῶν κεκοιμημένων, μεθερμηνεύτη εἰς τὴν ἡμετέραν ἰδιωτικὴν τὴν τῶν Κυπρέων γλότα ». **Allatii, Symmicta**, Colon. 1653, II, σελ. 452

Ἐν τῷ ἐπισυνημμένῳ γλωσσήματι προσεπάθησα νὰ ἐπεξηγήσω μετὰ τῆς δυνατῆς ἀκριβολογίας τὰς ἐν ἀμφοτέροις τοῖς χρονογράφοις ἀπαντώσας δυσνοήτους λέξεις, ἐξ ὧν αἱ πλεῖσται ἄγνωστοι καὶ αὐτοῖς τοῖς νῦν Κυπρίοις, δὲν κατεγράφησαν ὑπὸ τοῦ κ. Σακελλαρίου. Προτιθέμενος δὲ νὰ δημοσιεύσω καὶ ἄλλην σειρὰν Κυπριακῶν μνημείων ἀναβάλλω μὲν τὴν ἐπιστημονικὴν ἀνάλυσιν τοῦ Κυπρίου γλωσσήματος, οὐχ ἧττον δὲ νῦν προσεπάθησα νὰ σημειώσω τὴν κατάλληλον ἑρμηνείαν ἑκάστης λέξεως, παρεντιθέμενος καὶ τὴν ἑλληνικὴν ἢ ξενικὴν αὐτῆς παραγωγήν.

Ἐν συνόλῳ παρατηρεῖται, ὅτι ἐν τῇ γλώσσῃ ἀμφοτέρων τῶν χρονογράφων σπουδαίως ἐπηρεάζει οὐχὶ ἡ τῶν κρατούντων γάλλων, ἀλλὰ μᾶλλον ἡ ἰταλικὴ καὶ ἰδίως ἡ ἐνετικὴ διάλεκτος, ἕνεκα τῶν ἐμπορικῶν σχέσεων τῆς Ἀνατολῆς πρὸς τὴν Ἰταλίαν μᾶλλον ἢ τὴν Γαλλίαν· ἡ δὲ τοιαύτη ἐπήρεια οὐ μόνον ἐπὶ τῆς τότε Κυπριακῆς διαλέκτου παρατηρεῖται, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ χρονολογίᾳ· καὶ ὁ Μαχαιρᾶς δηλονότι καὶ ὁ Βουστρώνιος χρῶνται τῷ ἐνετικῷ καλενδαρίῳ (more Veneto) ἀρχομένῳ ἀπὸ τῆς πρώτης μαρτίου ἑκάστου ἔτους· οὕτω δὲ πρέπει τὰ ἀπὸ 1 ἰανουαρίου μέχρι τέλους φευρουαρίου σημειούμενα ἔτη ν' ἀνάγωνται εἰς τὴν καθ' ἡμᾶς χρονολογίαν διὰ τῆς προσθήκης ἑνὸς ἔτους. Ἁμαρτάνει δὲ ὁ κύριος Mas Latrie γράφων, ὅτι τὸ ἐνετικὸν καλενδάριον μόλις εἰσήχθη ἐν Κύπρῳ περὶ τὰ 1465 ἢ 1466.

Ἐν Βενετίᾳ, 1 Μαΐου 1873.

Κ. Σάθας.

Διόρθωσις παροραμάτων.

σελ. ι'. στίχ. 14, ἀντὶ — καὶ μετὰ δὲ — γράφε — μετὰ δέ. ια', στίχ. 12 — uunc, γράφε — nunc. ιη', 28, ἀντὶ — συνόδῳ, γρ. συνόδου. νϛ', 7, ἀντὶ — ἀπὸ τοῦ κοινοῦ, γρ. — ἀπὸ κοινοῦ. πγ', 3, ἀντὶ — 1221, γρ. 1231. ϞΖ', 14, ἀντὶ — νήσου καὶ αὐτοῦ, γρ. νήσου, ἀλλὰ καὶ αὐτοῦ. 6, 24, ἀντὶ — φορητὴν, γρ. φορητόν. 47, 17, ἀντὶ — τὰν, γρ. τὴν. 66, 2, ἀντὶ — γιανὰ, γρ. γιὰ. 73, 26, 28. ἀντὶ — ἁρμόστην, γρ. ἁρμάστην. 74, 4, ἀντὶ — ἁρμόστην, γρ. ἁρμάστην. 77, 3, ἀντὶ — ἐσμίκτιτην, γρ. ἐσμίκτην. 77, 17, ἀντὶ — ἀκάθετον, γρ. ἐκάθετον. 87, 29, ἀντὶ — ριμιατὸν, γρ. φιμιατόν. 111, 5, ἀντὶ — κομηθῇ, γρ. κοιμηθῇ. 111, 22, ἀντὶ — ἐκοιτιάσαν, γρ. ἐκιτιάσαν. 138, 20, ἀντὶ — εἶχαν, γρ. εἶχαν. 139, 31, ἀντὶ — Μόρτζος, γρ. μόρτζος. 144, 22, ἀντὶ — εἶπα, γρ. εἶπέν. 150, 8, ἀντὶ — Ρόδον, γρ. Ρόδου. 206, 14, ἀντὶ — τύπους, γρ. τόπους. 207, 10, ἀντὶ — ἅγιαν, γρ. ἅγιον. 214, 6, ἀντὶ — ἄν, γρ. ἂν. 221, 21, ἀντὶ — ξηλωμάτοῦ, γρ. ξηλωμάτου. 222, 27, ἀντὶ — ἀφεντία, γρ. ἀφεντία. 231, 12, ἀντὶ — εἶναι, γρ. εἶναι. 285, 19, ἀντὶ — ἔζαζεν, γρ. ἔξαζεν. 286, 20, ἀντὶ — εἰπάν, γρ. εἰπάν. 358, 30, ἀντὶ — ἐλλείπη, γρ. ἐλλείπει. σελ. 560, 15, ἀντὶ — ἀνακρίσεως, γρ. ἀνευρέσεως. σελ. 569, 29, ἀντὶ — 277, γρ. 227. 568, 11, ἀντὶ — γρίσσων, γρ. γρόσσων. 569, 15, ἀντὶ — ὄπισθαν, γρ. ὄπισθεν. 569, 16, ἀντὶ — παριγράψει, γρ. περιγράψει.

Τὰ δ' ἕτερα ἀφίενται εἰς τὴν εὐμένειαν τοῦ ἀναγνώστου.

Α.

Νεοφύτου πρότερον μοναχοῦ καὶ Ἐγκλείστου, περὶ τῶν κατὰ τὴν χώραν Κύπρον σκαιῶν (1).

Νεφέλη καλύπτει ἥλιον, καὶ ὁμίχλη ὄρη καὶ βουνούς, δι' ὧν ἀπείργηται θάλψις καὶ φωταυγὴς ἡλίου ἀκτὶς χρόνῳ τινί· εἴργει δὲ καὶ ἡμᾶς δώδεκα χρόνους ἤδη νεφέλη καὶ ὁμίχλη ἀλλεπαλλήλων δεινῶν τῶν τῇ χώρᾳ συμβεβηκότων. Κρατηθείσης μὲν γὰρ τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ ἀθέου Σαλαχαντί, τῆς δὲ (2) Κύπρου ὑπὸ Ἰσαακίου τοῦ Κομνηνοῦ, μάχαι λοιπὸν καὶ πόλεμοι, ταραχαὶ καὶ ἀκαταστασίαι, λαφυραγωγίαι καὶ δειναὶ συναντήσεις, τὴν γῆν, ἐν ᾗ οἱ δηλωθέντες ἦρξαν, κατεκάλυψαν νεφέλης καὶ ὁμίχλης πλέον· ἰδοὺ γὰρ ὁ ζωηφόρος τοῦ Κυρίου ἡμῶν τάφος, καὶ τὰ λοιπὰ ἅγια ἐδόθησαν τοῖς κυσὶ Μουσουλμάνοις, διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ δακρύει ἐν τῇ τοιαύτῃ συμφορᾷ πᾶσα ψυχὴ φιλόθεος. Ταραχθέντα δὲ καὶ τὰ ἔθνη, καὶ βασιλεῖαι κλιθεῖσαι, κατὰ τὸ γεγραμμένον, ὁ Ἀλαμανίας φημί, καὶ ὁ Ἐγκλινίας, καὶ πᾶν ἔθνος σχεδόν, κεκίνηνται (3) ὑπὲρ τῆς Ἱερουσαλήμ, καὶ ἤνυσαν οὐδέν· οὐδὲ γὰρ ηὐδόκησεν ἡ πρόνοια κύνας ἐξεῶσαι, καὶ λύκους ἀντεισάξαι.

Καὶ ἰδοὺ ιβ'. χρόνους ἐπὶ τὸ χεῖρον τὰ κύματα κορυφοῦνται· ἔτι τε καὶ αὐτὸς ὁ υἱὸς ἡμῶν ὁ πνευματικός, πρὸς ὃν δηλαδὴ ταῦτα ἐγράφομεν, τὰ δεινὰ μὴ ὑποφέρων βλέπειν τε καὶ ἀκούειν, καὶ ἐκ μέρους αὐτῶν πάσχειν, μετὰ πολλῆς (4)

(1) Cotel. ἐλλείπει ἡ ἐπιγραφή. (2) καί. (3) κεκίνηται. (4) πολλάς.

περινοίας καὶ μηχανῆς (1), ἐξέφυγε χεῖρας μιαιφόνους σὺν παντὶ τῷ λαῷ αὐτοῦ θείᾳ ῥοπῇ, καὶ προσφοιτήσας Ἀγγέλῳ τῷ βασιλεῖ Κωνσταντινουπόλεως, προσεδέχθη ἐντίμως, καὶ τὸ Σεβαστοῦ γέρας εἴληφεν ἐξ αὐτοῦ· ἐγὼ δὲ τὴν ὑπόσχεσιν ἐκπληρῶν, ἰδοὺ σὺν Θεῷ γράφω καὶ τὰ ἐπίλοιπα ὡς (2) ὑπεσχόμην, τοῖς ἐντυγχάνουσι παραδηλῶν τὴν ἐνεστῶσαν δυσχέρειαν τῶν πραγμάτων, ἥτις ἄρα δυσχέρεια (3) ποῦ δὴ καταλήξει, οἶδεν οὐδεὶς ἐν ἀνθρώποις, εἰ μὴ μόνος ὁ ἐπιτιμῶν τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις, καὶ γαληνιῶσιν. Ξένα τινὰ καὶ δυσήκουστα τὰ τῇ χώρᾳ ταύτῃ συμβεβηκότα δεινά, καὶ τοιαῦτα, ὡς πάντας τοὺς αὐτῆς πλουσίους ἐπιλαθέσθαι πλούτου αὐτῶν, λαμπρῶν οἰκημάτων, συγγενῶν, οἰκετῶν, ἀνδραπόδων, πλήθους ποιμνίων, βουκολίων, λακινιῶν, βοσκημάτων παντοίων, χωρῶν σιτοφόρων, καὶ παμφόρων ἀμπέλων, καὶ παραδείσων ποικίλων, καὶ μετὰ πολλῆς σπουδῆς ἀποπλεῦσαι λάθρα πρὸς χώρας ἀλλοδαπάς, καὶ πρὸς τὴν βασιλίδα τῶν πόλεων. Ὅσοι δὲ διαφυγεῖν οὐκ ἴσχυσαν, τίς ἱκανὸς ἐκτραγῳδῆσαι τὰς θλίψεις αὐτῶν; τοὺς ἐτασμούς, τοὺς (4) δημοσίους φυλακισμούς, τὴν ὁλκὴν τῶν ἀπαιτουμένων χρημάτων, μέχρι χιλιάδων τόσων καὶ τόσων; Ταῦτα δὲ συγκεχώρηται γενέσθαι, δι' ἁμαρτίας ὄγκον, ψήφῳ θεοῦ δικαίᾳ, ἵνα ταπεινωθέντες, καταξιωθῶμεν ἴσως συγγνώμης.

Χώρα ἐστὶν Ἰγκλιτέρρα, πόρρω τῆς Ῥωμανίας κατὰ βορρᾶν, ἐξ ἧς νέφος Ἰγκλίνων σὺν τῷ ἄρχοντι αὐτῶν, εἰς πλοῖα μεγάλα λεγόμενα νάκκας συνεισελθόντες τὸν πλοῦν πρὸς Ἱεροσόλυμα ἔδρων· τότε γὰρ καὶ ὁ Ἀλαμάνων ἄρχων μετὰ ἐννεακοσίων χιλιάδων, ὥς φασι, στρατοπέδων, πρὸς Ἱεροσόλυμα καὶ αὐτὸς τὴν ὁρμὴν ἐποιεῖτο· παρελθὼν δὲ τὴν χώραν τοῦ Ἰκονίου, καὶ τὰ ἀνατολικὰ μέρη διερχόμενος, διεφθάρησαν τὰ στρατόπεδα τῷ μήκει τῆς ὁδοῦ, καὶ τῷ λιμῷ καὶ τῷ δίψει· ὁ δὲ

(1) Cotel. μηχανάς. (2) ἐλλείπει: ὡς. (3) ἐλλείπει: τῶν πραγμάτων, ἥτις ἄρα δυσχέρεια. (4) ἐλλείπει: τούς.

αὐτῶν βασιλεὺς ἔν τινι ποταμῷ ἀπεπνίγη ἐποχούμενος ἵππῳ· Ἰγκλίτερ δὲ τῇ Κύπρῳ παραβαλών, εὗρεν αὐτὴν ὁ πανάθλιος ὡς τιθηνοῦσαν μητέρα· καὶ εἰ μὴ γέγονε τοῦτο, τὰ τοῦ Ἀλαμάνου ἴσως ἔμελλε πείσεσθαι καὶ αὐτός. Πῶς δὲ Κύπρον ἑάλω, ἐπιδρομάδην λέξω καὶ τοῦτο.

Ὡς ἐγένετο ἐν χρήσει ὁ ἐν μακαρίᾳ τῇ λήξει εὐσεβέστατος βασιλεὺς Μανουὴλ ὁ Κομνηνὸς φρουρὸν στεῖλαί τινα πρὸς τὰ βασιλικὰ φρούρια τῆς Ἀρμενίας, στέλλει τινὰ τῶν αὐτοῦ συγγενῶν κομιδῇ νέον, Ἰσαάκιον τοὔνομα· ὃς χρόνους τινὰς τὰ κάστρα περιφυλάξας, συνάπτει πόλεμον μετὰ τῶν Ἀρμενίων καὶ παρ' αὐτῶν ἁλωθείς, πιπράσκεται τοῖς Λατίνοις, οἱ δὲ σιδηροδέσμιον αὐτὸν κατεῖχον χρόνοις ἱκανοῖς· ἦν γὰρ τελευτήσας ὁ βασιλεὺς Μανουὴλ ὁ θεῖος αὐτοῦ, ἐάσας τὴν βασιλείαν Ἀλεξίῳ, τῷ υἱῷ αὐτοῦ, παιδαρίῳ ὄντι καὶ αὐτῷ, δι' ἣν αἰτίαν συμβασιλεύσας αὐτῷ Ἀνδρόνικος, ὁ θεῖος αὐτοῦ, ἀναιρεῖ τὸ παιδάριον, κρατήσας τῆς βασιλείας· δυσωπηθεὶς δὲ παρὰ τῆς συγκλήτου βουλῆς στέλλει πάμπολλα λύτρα, καὶ ἐξωνεῖται ἐκ Λατίνων τὸν ῥηθέντα Ἰσαάκιον. Ὃς ἐλθὼν ἐν τῇ Κύπρῳ κρατεῖ αὐτήν, καὶ φημίζεται βασιλεύς, καὶ κρατεῖ αὐτὴν ἐπὶ χρόνοις ζʹ· (1) ἐκάκωσε δὲ οὐ τὴν χώραν ἁπλῶς, καὶ τῶν πλουσίων τοὺς βίους καθόλου διήρπασεν, ἀλλὰ καὶ τοὺς ἰδίους ἄρχοντας αὐτοῦ ποινηλατῶν καθεκάστην καὶ θλίβων, ὥστε πάντας ἐν ἀμηχανίᾳ διάγειν, καὶ τρόπον τινὰ ἐπιζητοῦντας φεύξασθαι ἀπ' αὐτοῦ.

Τούτων δὲ οὕτως ἐχόντων, ἰδοὺ καὶ Ἰγκλίτερ προσβάλλει τῇ Κύπρῳ, καὶ θᾶττον πρὸς αὐτὸν ἔδραμον πάντες. Τότε ὁ βασιλεὺς ἔρημος ἐναπομείνας λαοῦ, προὔδωκε καὶ αὐτὸς χερσὶ τοῦ Ἰγκλιτέῤῥων, ὃν καὶ δήσας σιδήροις, καὶ τοὺς αὐτοῦ θησαυροὺς διαρπάσας σφόδρα πολλούς, καὶ τὴν χώραν σκυλεύσας

(1) Cotel. χρόνους ἑπτά.

δεινῶς, ἀποπλεῖ πρὸς Ἱερουσαλήμ, πλοῖα καταλείψας τοῦ σχιδεύειν τὴν χώραν καὶ στέλλειν ὄπισθεν αὐτοῦ· τῷ δὲ βασιλεῖ Ἰσαακίῳ κατακλείει σιδηροδεσμίῳ ἐν καστελλίῳ (1) καλουμένῳ Μαρκάππω. Κατὰ δὲ τοῦ ὁμοίου αὐτῷ Σαλαχαντίνου ἀνύσας μηδὲν ὁ ἀλιτήριος, ἤνυσε τοῦτο καὶ μόνον, διαπράσας τὴν χώραν Λατίνοις, χρυσίου χιλιάδων λιτρῶν διακοσίων· διὸ καὶ πολὺς ὁ ὀλολυγμός, καὶ ἀφόρητος ὁ καπνός, ὡς προείρηται, ὁ ἐλθὼν ἐκ τοῦ βορρᾶ, περὶ ὧν ὁ θέλων δηλῶσαι κατὰ μέρος καὶ ὁ χρόνος ἐπιλείψει.

Μαινομένης θαλάσσης ἐκ πολλῆς τρικυμίας καὶ πολλῆς καταιγίδος, οὐδὲν ἀποδέει νῦν τὰ τῆς χώρας ἡμῶν· μᾶλλον δὲ καὶ χεῖρον ἀγρίας θαλάσσης· ἐκείνης γὰρ τὴν ἀγριότητα διαδέχεται γαλήνη· ἐνθάδε δὲ ὁ κλύδων καθεκάστην ἐπαύξει, καὶ τὸ ραγδαῖον αὐτοῦ τέλος οὐκ ἔχει· εἰ μή που ἀκούσειε: μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ (2) ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. Ἐν τῇ Λευϊτικῇ βίβλῳ γέγραπται διαρρήδην τὰ ἐν τῇ γῇ ἡμῶν συναντήσαντα πήματα, ἤτοι πόλεμοι, ἧτται, σποραὶ διακενῆς, ὑπεναντίων ἐδωδὴ καμάτων ἡμῶν· καὶ ἡ ἰσχὺς ἡμῶν ἐγένετο εἰς οὐδέν· καὶ ἐγενόμεθα ὀλιγοστοί· καὶ λαὸς ἀλλότριος (3) ἐπληθύνθη ἐν τῇ γῇ ἡμῶν· ἐπορεύθητε πρὸς μὲ πλάγιοι, λέγει ὁ θεός, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ἐν θυμῷ πλαγίῳ. Καὶ γὰρ οὕτως ἔχει· εἰ μή πω γάρ τις νοσήσας χολανεῖ, οὐδ' ὁ ἰατρὸς ἐπάγει τομὴν μετὰ πικρίας καὶ καύσεως· δῆλον ὅτι καὶ ἡμεῖς, εἰ μή που πολλὰ τὸν πανάγαθον ἰατρὸν ἡμῶν παρεπικράναμεν, καὶ πλαγίως πρὸς αὐτὸν ἐπορεύθημεν, οὐκ ἂν καὶ αὐτὸς πλαγίως πρὸς ἡμᾶς διετέθη, σωτηριωδῶς καταπικραίνων ἡμᾶς.

(1) Cotel. καστέλλῳ. (2 οὐκ. (3) ἀλλότριον.

B.

Γερμανοῦ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἐπιστολὴ σταλεῖσα ἐν τῇ νήσῳ Κύπρῳ παρά τε αὐτοῦ καὶ τῆς ἱερᾶς συνόδου, ἀρχιερατεύοντος ἐν τῇ αὐτῇ νήσῳ τοῦ κυροῦ Νεοφύτου, καὶ ἀναγκαζομένου παρὰ Λατίνων, ὑποταγῆναι αὐτοῖς.

Ἡ νῆσος ἡ Κύπρος ἡ (1) περιλάλητος, ἣν πόντου μὲν ὑγρὸν στόμα κύκλῳ προσπτύσσεται, πυριμενῆ δὲ χείλη ῥητόρων καὶ γραφέων διαφημίζουσιν, εὖ μὲν θέσεως, εὖ δὲ κράσεως ἔχουσαν, οἷα θηλὴν θαλάσσης βρίθουσαν ἀγαθοῖς, καὶ ἐν ἀτρυγήτῳ παράδεισον, καὶ τῆς ἅλμης πέδον γλυκύχυμον, καὶ νῆσον ἄλλην μακάρων, καὶ μελιτόβρυτον γῆν, οὐ μόνον ἐξ ἑαυτῆς τὸ πάμφορον βλύσασαν, ἀλλὰ καὶ τοῖς ἔξωθεν περιαντλουμένην καλοῖς, ὁπόσα ταύτῃ παρὰ τῆς ὑγρᾶς ἐπεισβάλλουσιν.

Ἠδ' ἡ (2) Κύπρος αὕτη, ἡ πρὶν εὐδαίμων τε καὶ λαμπρά, οὐ τόσον ἐκ τῶν φυσικῶν χαρίτων ἐπίσημος ἦν, ὡς ὁ λόγος προδιεμόρφωσεν, οὐδ' οὕτω ταύτην ἄλλο τι τῶν ἁπάντων ἐσέμνυνεν (3), ὡς ὁ τῆς εὐσεβείας μᾶλλον καρπός, καὶ ὁ τοῦ εὐαγγελίου σπόρος, ἑκατοστεύων εἰς εὔσταχυν, τά τε τῆς διδασκαλίας εὔρυτα νάματα καὶ ἡ πολυανθὴς λειμονιὰ (4) τῶν γραφῶν, καὶ ἡ τῶν τέκνων τῆς ἐκκλησίας πληθὺς ὡς τοῦ ἀγροῦ τὸ παμβότανον, ὥσπερ νῆσον ἐγκαινιζομένην, τὸ τῆς γραφῆς, καὶ ὁσημέραι πρὸς τὸ κρεῖττον ἀνανεουμένην τε καὶ προβαίνου-

(1) Cotel. Κύπρος περιλάλητος. (2) Ἡ δὲ Κύπρος. (3) ἐσέμνυεν; (4) λειμωνία.

σαν· ἐντεῦθεν εἰς μίαν προήχθη τῶν μεγίστων ἐπαρχιῶν, καὶ πρὸς ἀρχιεπισκοπῆς ἐπήρθη ἀξίωμα, λάχος ἔκκριτον καθεστηκυῖα Χριστοῦ, καὶ καθ' ἑαυτὴν διεξαγομένη, καὶ τὸ οἰκεῖον ὑπὸ ποιμέσι διατάττουσα ποίμνιον.

Ἀλλ' οὔκουν ἄρα τοῦ τελχῖνος σατᾶν μὴ καὶ ταύτῃ βάσκανον ἐνιδεῖν, τοῦ γῆν ἀπειλοῦντος ἐξαλείφειν καὶ θάλασσαν· ἀμέλει καὶ χεῖρας ὁπλίζει βαρβαρικάς, καὶ πολέμιον (1) ἔθνος ἐπήγειρε κατὰ τῆς (2) ἐκκλησίας, καὶ μᾶλλον ὑποδρηστεῦον αὐτῇ· ἔθνος, τὰ μὲν τοῖς ὀδοῦσιν ἐσθίον, τὰ δὲ σπαράσσει τοῖς ὄνυξιν, ἄλλα δὲ ποσὶ συμπατοῦν, καὶ ἁπλῶς τὰ πάντα πρὸς ἀφανισμὸν ἀχρειοῦν, κατὰ τὸν Δανιὴλ θεαματισμόν. Οἱ γὰρ φρακτοὶ Λατῖνοι καὶ τοῖς Κυπρίοις ἐπέβρισαν, πόντος ἄλλος τις ἀχανὴς καὶ κατακλύζων τὸ προστυχόν, τοῦ προφανοῦς καὶ τὴν νῆσον ὑπανέχοντος βιαιότερος, παρ' ὅσον μὲν οὐ καλύψαι ταύτην φιλονεικεῖ, ἀλλὰ τοῖς οἰκείοις ὅροις συμπεριγράφεται, ἐν ἑαυτῷ συνθραύων (3) τὰ κύματα καὶ προνοίας χαλινοῖς ὑπείκων δημιουργοῦ.

Τὸ δὲ θράσος τῶν Ἰταλῶν, τοὺς οἰκείους ὑπερβαίνει σταθμοὺς καὶ κύματα κυλίνδει θυμοῦ· καὶ ὑπερόρια τρέχει, καὶ τῶν ὀθνείων κατεμπηδᾷ· τηλίκος ἐπερράγη τῇ καλῇ Κύπρῳ κλύδων ἀλλόκοτος, πρὸς ἣν ἡ θάλασσα σπένδεται καὶ ἡμεροῦται τὸ ῥόθιον (4)· ὁ δὴ τοιοῦτος κατακλυσμὸς μέχρι μὲν τινὸς τὰ ὡραῖα διέφθειρε, καὶ πᾶν ἀνάστημα κατέρριψε γῆς· ἤδη δὲ καὶ σωμάτων ἀνθρώπων παρήψατο· ἀλλ' ἦν ὅμως φορητὴν τὸ δεινόν, καίπερ ὂν βαρυσύμφορον· ἐπεὶ καὶ πρὸς σωματικὴν ἀπέβλεπε λύμην καὶ σκηνωμάτων ἀπώλειαν, συντιθεμένων ἐπὶ βραχὺ καὶ λυομένων μετ' οὐ πολύ, τὰ νῦν δὲ ἀλλὰ καὶ ψυχῶν τὸ πρᾶγμα κατεκαυχήσατο, καὶ τὸν ὀρθὸν λόγον τῆς εὐσεβείας διασαλεύειν ἐπιχειρεῖ· τοῖς γὰρ πολεμισταῖς Λατίνοις,

(1) Cotel. πολέμων. (2) τάς. (3) συνθράνων. (4) ῥόδιον.

καὶ ἱερατικὸν ἐκ τοῦ γένους οὐκ ὀλίγον τῇ νήσῳ προσεπιβάν, τὰς ἐκκλησίας συνέχεε, καὶ πρὸς ἑαυτὸ πάντα τὰ θεῖα ἐφελκύσαι νεανιεύεται.

Ἔνθεν ὁ μὲν γνήσιος καὶ κανονικὸς πρωτοποιμὴν, ὁ μακαριώτατος ἀρχιεπίσκοπος Κυπρίων, ὁ κῦρις Νεόφυτος, τοῦ οἰκείου θρόνου ἀποδιώκεται. Παρένθετος δέ τις καὶ ἀλλόθρους ἄνθρωπος ἐκ λατινικῆς φυλῆς τῷ τοιούτῳ θρόνῳ ἐγκαθεσθείς, οὐκ ἂν ἄλλως ἀνήσειν τοὺς ἡμετέρους ἱερατικοὺς ἰσχυρίζεται ἐπισκόπους καὶ λοιποὺς τὸν ρωμαϊκὸν ποιμαίνειν καὶ διδάσκειν λαόν, εἰ μὴ πρότερον τὴν παρ' αὐτοῖς ὑποταγὴν ὑπεισέλθωσι, καὶ συνθήκας καταθυμίους τῷ νέῳ ἀρχιερεῖ καὶ νόθῳ παρέξουσιν· ἢ μὴν καὶ τούτους ἐξοστρακισθῆναι τῆς νήσου παντάπασιν· ὡς τῶν ποιμένων καὶ διδασκάλων διασπαρέντων, κινδυνεύειν τὴν ἀγέλην Χριστοῦ εἰς κρημνοὺς ἀποπλανᾶσθαι καὶ βάραθρα.

Ἦν μὲν πρὸ πολλοῦ θρυλλούμενα ταῦτα, καὶ εἰς ἀκοὰς τῆς ἡμετέρας ἐρχόμενα μετριότητος· τὰ νῦν δὲ καὶ ὁ θεοφιλέστατος τῆς κατὰ τὴν Κύπρον ἁγιωτάτης ἐπισκοπῆς Σολείας Λεόντιος, καὶ ὁ εὐλαβὴς καθηγούμενος τῆς τῶν Ἀψινθίων μονῆς ἱερομόναχος Λεόντιος, πρὸς τὴν ἡμῶν ἀναπεμφθέντες μετριότητα, παρά τε τοῦ οἰκείου μακαριωτάτου ἀρχιεπισκόπου καὶ τῶν λοιπῶν ἐπισκόπων, ἀλλὰ δὴ καὶ παντὸς τοῦ ἱερωμένου πληρώματος καὶ τοῦ ὀχλώδους λαοῦ, τὰς τοιαύτας συνοδικῶς ἀνήγγειλαν συμφορὰς ἐνώπιον τῆς ἡμῶν μετριότητος, καὶ παραστάντες τὴν σήμερον (1) ἐπὶ τοῦ μέσου, διεπρεσβεύσαντο ὁπόσα παρ' ἐκείνων ἀνενεγκεῖν ἐπετράπησαν· ἔφασκον γάρ, ὡς τῷ ἀρχιεπισκόπῳ κυρῷ Νεοφύτῳ, παρὰ τῶν Λατίνων οὐ συγκεχώρηται τῇ νήσῳ ἐνδιατρίβειν τὸ σύνολον, ἅτε τοῦ (2) σφῶν καὶ ἑτέρου ἀρχιεπισκόπου μηδόλως ἄλλον ἀκούειν ἀρχιεπίσκο-

(1) Cotel. τὸ σήμερον. (2) τῶν.

πον στέργοντος· ἀμέλει καὶ τέλεον ἐκείνους ἀπήλασαν, καὶ νῦν ἐν τοῖς μέρεσι τῆς ἀνατολῆς διάγει πλανώμενος. Αὐτοὺς δέ γε τοὺς ἐπισκόπους, φασί, καὶ τοὺς λοιποὺς ἱερατικοὺς εἰς ὑποταγὴν ἐκβιάζεται ὁ τῶν Λατίνων ἀρχιερεύς, καὶ οὕτως ἐάσειν τούτους καθυπισχνεῖται τὰς οἰκείας ἔχειν ἐπισκοπὰς καὶ ἱερατικῶς ἐνεργεῖν, καὶ παρεγκλητεῦον (1) τὸ ποιητέον μαθεῖν παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς ἀδελφότητος. Διὰ γὰρ τῆς τούτων γλώσσης, τὰς τῶν Κυπρίων πάντων ἔλεγον παρεστάναι ψυχάς, καὶ τὴν ἡμῶν γουνάζεσθαι μετριότητα, τῆς ἐκείνων σωτηρίας ἀντιποιήσασθαι, καὶ μὴ χώραν οὕτω πλατεῖαν καὶ πολυάνθρωπον καταλιπεῖν ἀπροστάτευτον ὡς λιμὸν λιμῶξαι καὶ δίψαν παθεῖν, οὐ βρώματος, οὐδὲ πόματος, (2) ἀλλὰ τοῦ ἀκούειν λόγον Θεοῦ.

Ταῦτα τοῦ ἐπισκόπου καθικετεύοντος, καὶ τοῦ ἡγουμένου προσλιπαροῦντος, ἡ μετριότης ἡμῶν μετὰ τῆς ἱερᾶς ἀδελφότητος, εἰς σκέψιν ἔθετο τὰ τοῦ πράγματος, καὶ ἐδόκει διπλοῦς ἑκατέρωθεν κίνδυνος καὶ ἀμφίκρημνος ὄλισθος· τό τε γὰρ τοσοῦτον ἐγκαταλειφθῆναι λαὸν προστασίας ἄτερ (3) ποιμαντικῆς, ὧν τὰ αἵματα ἐζήτηται παρὰ τῷ Θεῷ ἐκ τῆς τῶν ποιμαινόντων χειρός, μεγάλην τὴν εὐθύνην ἔχει τὸ κατάκριμα, καὶ τὸ ἐνδοῦναι δὲ θελήσει Λατινικῇ καὶ σχισματικοῖς συνθέσθαι καὶ σπείσασθαι, ἀπᾷδον τῇ τῶν κανόνων ἀκριβείᾳ δοκεῖ, καὶ ἐκκλησιαστικῶν ἐθίμων ἀλλότριον· ἦν γοῦν ὁ λόγος ἀμφίβολος, καὶ ἡ πρὸς θάτερον νεῦσις ἀμφισβητήσιμος. Ὡς δὲ πολλοὺς ἥ τε μετριότης ἡμῶν καὶ ἡ ἱερὰ ἀδελφότης ἀνείλιττε λογισμούς, τέλος καὶ αὐτὸ τὸ εἶδος τῆς ἀπαιτουμένης παρὰ τῶν Λατίνων (4) ὑποταγῆς συνοδικῶς ἡ μετριότης ἡμῶν χρωματισθῆναι διενοήσατο· ὅθεν παρεγγυήσατο τῷ ἐπισκόπῳ τε καὶ

(1) Cotel. παρεγκλήτευον. (2) ἐλλείπει: οὐδὲ πόματος. (3) ἄτερ (4) παρὰ Λατίνων.

τῷ καθηγουμένῳ, πνευματικῶς διευκρινῆσαι μετ' ἀληθείας, τίνα γε ἄρα τὰ παρὰ τῶν Λατίνων ἀπητημένα εἰσί.

Καὶ οὗτοι τρία ταῦτα ζητεῖν ἀπαραιτήτως ἔφασαν τοὺς Λατίνους· χεῖρας χερσὶν ἐμβάλλειν ἱερατικὰς ἱερατικαῖς, τοὺς ἡμετέρους λατινικαῖς. Τοῦτο γὰρ εἶναι τοῖς ἐπηρεασταῖς ἐχέγγυον ἀσφαλές, δουλωτικῆς ἐμπράγμασιν (1) ὑποκλίσεως. Δεύτερον τὸ τὸν μέλλοντα Ῥωμαῖον εἰς ἱερατικὴν προβαίνειν τιμήν, μετὰ τὴν τῶν ὁμοφύλων ἐπιλογήν, εἴτε εἰς ἐπίσκοπον προβιβάζεται, εἴτε καὶ (2) εἰς ἀλλοίαν χειροτονίαν ἢ καὶ ἡγουμενείαν ἐγκέκριται, μὴ δίχα τῆς τοῦ Λατίνου εἰδήσεως τῇ προσφόρῳ ἀξίᾳ ὁποιονδήποτε ἐγκαθίστασθαι. Τοῦτο δὲ χάριν αἰσχροκερδείας καὶ μόνης ἀπαιτεῖν τοὺς Λατίνους διεμαρτύραντο. Τρίτον ἐπὶ τούτοις ἐπήγαγον, τὸ τοὺς Ῥωμαίους κρίνεσθαι μὲν παρὰ τοῖς οἰκείοις ἐπισκόποις, ὅτε δεήσειεν, εἰ δ' ἴσως τις τῶν κρινομένων θελήσειε πρὸς τὸν ἀρχιεπίσκοπον τῶν Λατίνων, ὡς δῆθεν βαρυνόμενος ἐκκαλέσασθαι, εἴτε ἱερωμένος ἐστίν, εἴτε λαϊκός, ἵνα παρ' αὐτῷ ἡ ὑπόθεσις ἀνακρίνηται. Ἐπὶ τούτοις ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη μετὰ τῆς ἀδελφῶν (3) ὁμηγύρεως καὶ τῆς ἀποφαντικῆς ἀπαρχομένης καὶ ἀπαγγελίας, καὶ (4) τὰ δόξαντα διασαφοῦσα, οὕτως εἴρηκε.

Πάντας μὲν ἱεροὺς κανόνας, πάσας θείας παραδόσεις, πάντα σεβάσμια ἔθιμα τῆς καθ' ἡμᾶς πανευσεβοῦς ἐκκλησίας, στέργειν καὶ φυλάττειν ἀπαράτρωτά τε καὶ ἀπαρεγχείρητα, καὶ χειρὶ καὶ γλώττῃ διαβεβαιωσάμεθά τε καὶ εἰσέτι διαβεβαιούμεθα, τοῦ Χριστοῦ τῇ χάριτι (5) πεποιθότες· καὶ γὰρ οὕτω καὶ ἀνεγραψάμεθα (6) καὶ ὡμολογήσαμεν, καὶ καθ' ἡμέραν ὑπὲρ τούτων πυκτεύομεν καὶ εὐχόμεθα, ὅπως αἵ τε χεῖρες, ἥ τε (7) φωνή, τοῦ πατριάρχου εἶεν Ἰακώβ, τοῦ καὶ πρὸ γενέσεως ἀγα-

(1) Cotel. ἐν πράγμασιν. (2) ἐλλείπει: εἰς ἐπίσκοπον προβιβάζεται, εἴτε καί. (3) τῆς τῶν ἀδελφῶν. (4) ἐλλείπει: καί. (5) χάριτη. (6) ἐνεγραψάμεθα. (7) ἡ δέ.

πηθέντος ὑπὸ θεοῦ· ὅπου δέ γε οὐκ ἐπισείεταί τις ἀθέτησις τῶν κανόνων, τῶν παραδόσεων, τῶν ἐθίμων, αὐτῆς δὲ πίστεως εἴ τι που εὐμεθόδως καὶ ἀπροσκόπτως τῇ ἐκκλησίᾳ Χριστοῦ μετελθεῖν δυνήσονται οἱ Κύπριοι ἐπίσκοποι, κἀκ (1) τοῦ δοκεῖν ὑποπίπτειν καταπιπτούσας, ταῖς ἀληθείαις, τὰς ἑαυτῶν ὑποστηρίξαιεν ἐκκλησίας, καὶ τῆς ἀπειλουμένης ψυχολέθρου συντριβῆς ἀπαλλάξαιεν, συγγνωστέον ἂν οἶμαι τῆς τοιαύτης οἰκονομίας, ἢ μᾶλλον εἰπεῖν ὑποκρίσεως, καὶ ἀκαταιτίατον λογισθήσονται, τὸν μέγαν Παῦλον εἰς τοῦτο συνήγορον ἔχοντες.

Ἐπεὶ οὖν οὕτως ἡ τῆς ἡμῶν μετριότητος διάγνωσις ἀπηγγέλλετο, καὶ παρίστατο τηνικάδε πλῆθος οὐ μετρητὸν τῶν τῆς (2) Κωνσταντίνου θρεμμάτων, τριχθὲν δεδασμένον, εἰς κληρικούς, εἰς μονάζοντας, εἰς λαϊκούς, τῶν μὲν ἤδη καὶ δεδιωγμένων ἐκεῖθεν, καὶ μητέρα ταύτην τὴν Κωνσταντίνου φημὶ μεμισηθέντων διὰ τὴν πρὸς τὸν ἐν οὐρανοῖς πατέρα τελείαν ἀγάπησιν καὶ ὁμολογίαν, ἱδρῶσι σεμνυνομένων, τῶν δ' αὖθις, ὡς τὸ ἀπογεγαλακτισμένον, ἐπὶ τὴν μητέρα ἀναστρεψάντων, καὶ ταῖς γηραιαῖς αὐτῆς καὶ πτωχικαῖς ἀγκάλαις καὶ ἔτι ἐνθαλπομένων· οἱ τοιοῦτοι τὴν καρδίαν ἐκζέσαντες ὑπὸ τῶν πυρανθράκων τοῦ ζήλου, καὶ πῦρ οἱονεὶ πνεύσαντες, τὸν λόγον σφοδρυνόμενοι, πρὸς ἡμᾶς ἀπετείνοντο: Λαμψάτω, λέγοντες, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, μὴ μόνον ἐξ ἔργων, ἀλλ' ἤδη καὶ ἐκ τῶν λόγων αὐτῶν, καὶ σκοτεινὸν μηδέν, μηδὲ ἀσαφὲς ταῖς ἡμετέραις (3) διαγνώσεσιν ἐγκρυπτέσθω! ἐμάθομεν ἀφ' ὧν ἐπάθομεν, τὴν Λατινικὴν δολοπλοκίαν, ἡμεῖς ἀρκούντως αὐτοῖς συνεπλάκημεν, πολὺν ἀνέτλημεν κάματον, ἐγκαρτερήσαντες φυλακαῖς, τῆς ἐνεγκαμένης ἀπελαθέντες, ἐξυβρισθέντες εἰς τὸ τοῦ πώγωνος σέμνωμα, κἀκ τούτων πάντων τὰς αὐτῶν ῥᾳδιουργίας ἐκμεμελετήκαμεν ἀκριβῶς. Λατῖνοι ἄλλα μὲν βάζουσιν, ἄλλα

(1) Cotel. καί. (2) τοῦ. (3) ὑμετέραις.

δ' ἐν φρεσὶ κεύθασι· (1) χερσὶ χεῖρας ἐμβαλεῖν ἀπαιτοῦσι, τὰς ἡμετέρας ταῖς ἑαυτῶν, καὶ τοῦτο παντάπασιν ἀκαταιτίατον καὶ ἀνεπίληπτον ἰσχυρίζονται· τὸ δέ, οὐδέν τι ἕτερόν ἐστιν, ἀλλ' ἢ πατροπαραδότου πίστεως προδοσία, καὶ χειραγωγία πρὸς ὑποταγὴν τῆς σφῶν ἐκκλησίας, καὶ εἰς πανθ' ὅσα τὰ τῆς γηραλαίας εἴθισται Ῥώμης παραληροφρονήματα. Οἷα γὰρ ἀεὶ πολέμοις ἀναστρεφόμενοι, καὶ καθαρῶς τυγχάνοντες ἀριμάνιοι πάντες ὁμοῦ λαϊκοί τε καὶ ἱερεῖς αὐτῶν, καὶ ἔθιμα τῶν πολέμων ἠκριβωθέντες, καὶ τοῦτ' αὐτὸ τὸ διδόναι χεῖρας, σημεῖον ἥττης καὶ παντελοῦς δουλωσύνης νομίζουσιν, ὡς ἐν ταῖς μάχαις εἰώθασιν οἱ ἁλισκόμενοι δρᾶν. Παρακαλοῦμεν οὖν ἐντεθῆναι ῥητῶς ταῖς συνοδικαῖς διαγνώσεσι, καὶ τὸ μὴ δὲ χεῖρας δοῦναι τοῖς Ἰταλοῖς τοὺς Κυπρίους, εἰ καὶ τοῖς ἱεροῖς κανόσιν ἀμνημόνευτον παρατεθεώρηται τοῦτο· εἰ γὰρ μὴ οὕτω γενήσεται, κίνδυνος προφανής, τὴν τετράγωνον καὶ στερεὰν καὶ δίχα ψόγου τῶν πρὸ σοῦ ἀρχιερέων οἰκοδομὴν ἄρτι καταπεσεῖν, ἣν ἐκεῖνοι συχνοῖς ἱδρῶσι καὶ ἐργομοχθίαις μακραῖς ἀνεδείμαντο, ἐπερείδοντες καθ' ἑκάστην ἡμᾶς ταῖς νουθεσίαις αὐτῶν, καὶ τῷ θεμελίῳ τῶν ἀποστόλων ἑδράζοντες, καὶ μὴ δεδοικέναι τοὺς τῶν πειρασμῶν ποταμούς, μηδὲ τοὺς ἀνέμους ὑποτιθέμενοι.

Ταῦτα τοῦ παρεστηκότος φιλευσεβεστάτου λαοῦ θερμῷ τῷ ζήλῳ πρὸς τὴν ἡμῶν ἀποτειναμένου (2) μετριότητα προκαθημένην συνοδικῶς, ἡ μετριότης ἡμῶν συνιδοῦσα, ὡς ἐνταῦθα ὁ τῆς οἰκονομίας λόγος οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, καὶ ὡς οὐ μόνον οὐκ εὐθυπλοεῖ (3) αὕτη πρὸς τὴν περιώνυμον Κύπρον ναυαγοῦσαν ἤδη διασώσασθαι, ἐνδιδοῦσα τὸν πόδα κατὰ νόμους ναυτηλικούς, καὶ τὸ ἱστίον βάπτον ἀποκενοῦσα, ἀλλά γε δὴ καὶ τοὺς τῆς οἰκείας φροντίδος ἐπιβάτας στασιαστὰς ἐργάζεται κινδυνεύει, καὶ ὡς μὴ ἀρκούντων εἰς κά-

(1) Cotel. κεύθουσι. (2) ἀποτεινομένου. (3) εὐθυποεῖ.

κωσιν τῶν ἔξωθεν πειρατῶν, καὶ αὐτοὺς καθ' ἑαυτῶν ἐκπολεμῶσαι τοὺς συμπλωτῆρας φόβος οὐκ ἀξυμφανής, πρὸς τοὺς Κυπρίους ταῦτα ἐξεῖπε: Παῦλος τὸ τοῦ Χριστοῦ στόμα, διὰ τοῦ ἐμοῦ στόματος γνωμοδοτεῖ, καὶ πρὸς τὴν ὑμῶν ἐρώτησιν ταυτὶ ἀποκρίνεται. Παρακαλῶ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν, οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. Ἀρκοῦσα πάντως ἡμῖν ἡ ἀπολογία καὶ ἁρμοδιωτάτως πρὸς τὴν ἐρώτησιν καὶ ἱκανῶς ἔχουσα τὸ συνοῖσον ἀναδιδάξαι.

Ὑμεῖς δέ, ὦ κατὰ Χριστὸν ἀδελφοὶ Κύπριοι, μιμηταὶ γίνεσθε τῆς τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας· τοὺς αὐτῆς ποιμένας οἱ τῆς Κύπρου ποιμένες μιμείσθωσαν, τῇ τῶν λόγων ἀπαύστως ἐμπνέοντες (1) σύριγγι, καὶ ἀνακλῃστικὸν (2) ἐπᾴδοντες καὶ σωτήριον· τὰ Κύπρια ποίμνια τῆς τῶν Κωνσταντίνου ζηλούτωσαν θρεμμάτων, καὶ γὰρ ταῦτα τοῖς μακροῖς ὅροις τῶν ποιμένων διεστηκότα, καὶ λύκοις δεινοῖς συμβοσκόμενα καὶ τὸ τετριχωμένον τοῦ πώγωνος κειρόμενα κόσμημα, καὶ κρεουργούμενα, ἀνεπιβούλευτον τὴν σφραγῖδα τῆς πίστεως διεφυλάξαντο, καὶ τοὺς λύκους χανόντας μάτην ἀπήλεγξαν· εἰ δὲ καί τινες ἐξ αὐτῶν σφόδρα ὀλίγοι ψώρας τινὸς μετέσχον, εἰ καὶ λυσσώδους τοῦ δήγματος, ἀλλὰ ταχέως πρὸς τὴν ἐν Γαλαὰδ καὶ τοὺς ἐν τῷδε τῷ (3) τόπῳ πνευματικοὺς ἀκέστορας ὑπαινίττεται, παρ' ὧν καὶ πρὸς τὴν προτέραν ἐπανῆλθον ὑγίειαν, οὐκ ἔλαττον τῶν ἀθλήτων καὶ ἀτραυματίστων καὶ οὗτοι ἐπαινεθέντες, διὰ τὴν τῆς οἰκείας ἀσθενείας ἐπίγνωσιν, καὶ τὸ ζητῆσαι ταχέως τὴν ἴασιν.

(1) Cotel. ἐμπνέωντες. (2) ἀνακλητικόν. (3) τῷ δε τόπῳ.

Καὶ τοὺς Κυπρίους τοιγαροῦν ποιμένας, εἰ συμβήσεται τοῖς λύκοις συμπλεκομένους, καὶ τῶν οἰκείων ὑπερμαχοῦντας ποιμνίων, καὶ τῆς αὐτῶν φροντίζοντας σωτηρίας, ὑποκλάσαι τι καὶ ὑπενδοῦναι μικρόν, ὅπερ ἀπείη, παρακαλοῦμεν μὴ εἰς ἀπόγνωσιν εὐθὺς ἐμπεσεῖν, μὴ δὲ ἀπελπίσαι τὴν σωτηρίαν, μὴ δὲ ἀνομίαν ἐπὶ τὴν ἀνομίαν προσθεῖναι, καὶ τὴν ἐπὶ τὸ χεῖρον ἀσπάσασθαι προκοπήν, καὶ μιγῆναι τοῖς ἔθνεσι, καὶ μαθεῖν τὰ ἔργα αὐτῶν· ἀλλ' εὐθὺς ἀνανεῦσαι τοῦ πτώματος, καὶ πρὸς τὸν ἰατρὸν ἐπαναδραμεῖν· ἀλλὰ ταῦτα μὲν οὕτως.

Τὰ μέντοι ἕτερα δύο κεφάλαια, το μὴ δίχα δηλαδὴ τῆς τῶν Λατίνων εἰδήσεως, τῇ προσφόρῳ πνευματικῇ ἀξίᾳ ὁποιονδήτινα ἐγκαθίστασθαι, καὶ τὸ μὴ κωλύεσθαι τοὺς Ῥωμαίους, εἴτε ἱερωμένοι εἰσὶν εἴτε λαϊκοί, ἐγκλητεύειν πρὸς τοὺς Λατίνους, ἐν ταῖς περὶ βιωτικωτέρων πραγμάτων φιλονεικίαις, οἰομένους παρὰ τῶν ὁμογενῶν κριτῶν ἀδικεῖσθαι, ἀδιάφορα δοκεῖ τῇ ἡμῶν μετριότητι, καὶ διὰ μόνην φανερῶς αἰσχροκέρδειαν τοῖς Λατίνοις ζητούμενα· οὐ μικρὸς γὰρ ἐντεῦθεν αὐτοῖς ὁ χρηματισμὸς ἀναφαίνεται. Καὶ ἡ ἡμῶν μετριότης συμβουλεύει τοῖς τῶν Κυπρίων ποιμέσιν, ἐν ὅσοις ἐνστατικοί τινες καὶ φιλόνεικοι φαίνονται οἱ Λατῖνοι ἐφέσει λημματισμῶν, ἐνδιδόναι τούτοις καὶ μὴ ἀνθίστασθαι, ἐπαινετὸν γὰρ σωματικῆς ζημίας ψυχικὸν ἀλλάττεσθαι κέρδος, καθάπερ καὶ τὸ χαλκέων ἀνταμείβεσθαι χρύσεα. Ἴσως γὰρ πληρώσαντες χρημάτων τὰς χεῖρας, ἀπολύσουσι τούτους τοῦ τῆς χειροδοσίας ζητήματος, κἀκείνων κατασπασθεισῶν κάτω τῷ βάρει, ἐξέσται αὐτοῖς ὁσίας χεῖρας ἐπαίρειν πρὸς τὸν θεόν, καὶ δίχα σκινδαλμοῦ τινος καὶ προκρίματος τὰ τῆς ἱεροτελεστίας (1) ἀποπληροῦν.

Ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνόδων παρασημειώσεων, καὶ τῇ γραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου

1) Cotel. ἱεροτελεσίας

χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας Θεοδώρου τοῦ Στιλβῆ βεβαιωθέντα, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνος (2) τῆς προγεγραμμένης· ἔτους ͵ςψλα΄.

Γ.

Τοῦ αὐτοῦ ἁγιωτάτου κυροῦ Γερμανοῦ ἐπιστολὴ β΄ πρὸς τοὺς Κυπρίους.

Ἄνδρες φιλοχριστότατοι καὶ φιλευσεβεῖς, ὅσοι τὴν περιώνυμον νῆσον τὴν Κύπρον ἐλάχετε κατοικεῖν, Ῥωμαῖοί τε καὶ Σύροι, πάντες ὀρθοδοξίας ἐρασταί, φύλακες ἀκριβεῖς τῆς πατροπαραδότου ἡμῶν πίστεως, ἐφ' ἧς ὁ παντοδύναμος βραχίων τοῦ Θεοῦ καὶ πατρός, ὁ Χριστός, τὴν ἐκκλησίαν αὐτοῦ ᾠκοδόμησε, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, ὅσον γὰρ ἂν αὐτὴ πολεμῆται, τοσοῦτον μᾶλλον κρατύνεται ἐγκαλλωπιζομένη τῇ τοῦ Χριστοῦ ἐκμιμήσει· αὐτοῦ γάρ ἐστιν ἀψευδέστατος λόγος οὑτωσὶ φάσκων: εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσι. Χαίρετε οὖν ἐν Κυρίῳ ἀδελφοὶ πάντοτε, καὶ πάλιν ἐρῶ χαίρετε. Ἰάκωβος ὁ θεάδελφος σὺν Παύλῳ τῷ οὐρανοβάμονι πρὸς τοὺς πνευματικοὺς ἀγῶνας τὴν ὑμῶν ἀγάπην ἐπαλειφέτωσαν, ὁ μὲν δὴ Ἰάκωβος, πᾶσαν χαρὰν ἡγήσασθε λέγων, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις· ὁ δέ, ἥδιστα καυχώμενος ἐν ταῖς ἀσθενείαις αὐτοῦ, καὶ ἐπευδοκῶν ἐν ταῖς θλίψεσιν. Ἐγὼ μὲν ὁ ἐλάχιστος καὶ ἀχρεῖος ἐν ἀρχιερεῦσι, μακάριον ἐμαυτὸν ἐν ταῖς ἀσθενείαις ἥγημαι, ὅτι πρὸς λαὸν εὐπειθέστατον καὶ

(1) Cotel. ἐπινεμήσει.

πρὸς ὦτα ἀκουόντων λελάληκα. Οὐ γὰρ εἰς πέτραν ὁ σπόρος τοῦ λόγου ἡμῶν ἔπεσεν, οὐδὲ καθ' ὑδάτων ἐγράψαμεν, οὐδὲ τὰ δίκτυα τῆς διδασκαλίας διακενῆς ἐχαλάσαμεν· ἀλλ' ἐσπείραμεν μᾶλλον εἰς τὴν ἀγαθὴν γῆν καὶ εὔσταχυν, ἐγράψαμεν δὲ εἰς πεφωτισμένας καρδίας καὶ καθαράς, ὡς κάλαμον τοῦ ψαλμικοῦ γραμματέως τὴν γλῶτταν κινήσαντες, καὶ ἐπὶ τῷ ῥήματι τοῦ Χριστοῦ καθέντες τὸ δίκτυον, ἠγρεύσαμεν ὑμᾶς πρὸς ὑπακοὴν πίστεως, καὶ ὀψώνιον τῷ Χριστῷ προσηγάγομεν ἄξιον τῆς οὐρανίου τραπέζης αὐτοῦ· ἔνθεν τοι καὶ εὐφρανθέντες ἐπὶ τῇ πρώτῃ ἄγρᾳ, καὶ τῆς εὐστοχίας ἑαυτοὺς μακαρίσαντες, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ πάλιν τὴν γλῶτταν ὥσπερ ἀμφίβληστρον ἐπὶ τῆς διδασκαλίας καταχαλῶμεν.

Οὐκ ἀγνοεῖτε πάντως, φιλολογώτατοι ἄνθρωποι καὶ φιλομαθέστατοι, ὡς οἱ ἀνέκαθεν θεοφόροι καὶ θεοκήρυκες πατέρε ἡμῶν, θείῳ κινούμενοι πνεύματι, καὶ ἀποστολικαῖς διδασκαλίαις ἑπόμενοι, πάντα τὰ τῆς καθολικῆς ἐκκλησίας ἐν σχοινίῳ πνευματικῆς κληροδοσίας, θεοκινήτως ἔταξάν τε καὶ ὡροθέτησαν, καὶ ταῖς διαφόροις τῶν ἐκκλησιῶν ὁροθεσίαις φραγμοὺς περιέθηκαν, καὶ περιετείχισαν τὰς ἑκασταχοῦ ἐνορίας πρὸς ἀσφάλειαν, ὥστε μὴ τοὺς φιλοδόξους τε καὶ ἀλαζόνας ἀπὸ τῶν οἰκείων ἐπὶ τὰς ἀλλοτρίας εὐκόλως ἐπιπηδᾷν, ἀλλὰ δεδοικότας τὰς αἱμασιὰς (1) τῶν φρικωδεστάτων ἀφορισμῶν καὶ τῶν ἀπὸ Θεοῦ ἀλλοτριώσεων, στέργειν ἕκαστον, ἣν ἔλαχε σπάρταν, καὶ ἀρκεῖσθαι τῷ ἰδίῳ λάχει καὶ τῇ προσαρμοσάσῃ κληροδοσίᾳ. Ἀλλ' ὢ τῶν ἐμῶν ἀγνοημάτων, ὢ τῆς ἀπλήστου φιλοδοξίας, πᾶσαν ἀρτίως κανονικὴν εὐταξίαν ἐξουδενωσάσης, καὶ ἀνατρέπειν ἐπιχειρούσης τὴν χριστιανικὴν κατάστασιν πᾶσαν, μᾶλλον μὲν οὖν καὶ κατ' αὐτῆς τῆς κεφαλῆς τῆς ἐκκλησίας, ἥτις ἐστὶν ὁ Χριστὸς, θρασέως καθαλλομένης (2), καὶ μὴ φοβουμένης τὰ

(1) Cotel. αἱμασίας. (2) καταλλομένης.

κέντρα, ἃ καὶ τῷ Σαύλῳ ἐπηπειλήσατό ποτε (1) ὁ Χριστός, σκληρόν σοι, φάμενος πρὸς αὐτόν, πρὸς κέντρα λακτίζειν.

Οἴδαμεν γὰρ ἅπαντες, ὅσοι τὸ χριστιανικὸν βεβαπτίσμεθα βάπτισμα, ὡς εἷς ἐστιν ἡμῶν ὁ καθηγητής, ὁ Χριστός, καὶ αὐτός ἐστι κεφαλὴ τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν· πάντες δὲ οἱ τῷ ἀρχιερατικῷ τετιμημένοι ἀξιώματι, ἀδελφοί ἐσμέν, καὶ μέλη τοῦ σώματος τοῦ Χριστοῦ. Καὶ τὸ μὲν ἀληθὲς οὕτως ἔχει· καὶ μαρτυρεῖ αὐτὸς ὁ Χριστὸς ἡ αὐτοαλήθεια, καὶ οἱ αὐτόπται τούτου καὶ ὑπηρέται. Ὁ δέ γε Ἰταλικὸς τύφος τοῦτο οὐ βούλεται, οὐδ' ἀνέχεται τὸν Χριστὸν κεφαλὴν καὶ (2) εἶναι καὶ ὀνομάζεσθαι, ἀλλ' ἐκβάλλων τοῦτον ταύτης τῆς τάξεως, τῷ ἀρχιερεῖ τῆς πρεσβυτέρας Ῥώμης ταύτην χαρίζεται, καὶ ἀναχωνεύειν ἐπιχειρεῖ τὰ πενταδικῶς ἀριθμούμενα πατριαρχεῖα, καὶ ἓν ἐκ τούτων ἀποτελεῖν, καὶ τιθέναι τὸν θρόνον αὐτοῦ ἐπὶ τῶν νεφελῶν ἀποθρασύνεται καὶ τῷ ὑψίστῳ ἀφομοιοῦν· νεφέλας δ' ἐγώ φημι τοὺς ὑπερέχοντας ἀρχιερατικοὺς θρόνους καὶ ὑψηλούς, καὶ ἀποτεταγμένους εἰς πατριαρχεῖα, ἐξ ὧν ὑετίζεται (3) τὸ περίγειον ἅπαν, βροχὴν ἑκούσιον καὶ μυστικὴν τῆς πνευματικῆς διδασκαλίας δεχόμενον· ὢ πόσων ταῦτα δακρύων ἄξια, πόσων στεναγμῶν, ὅτι τὸ τῆς ὑπερηφανίας πνεῦμα τὸ σκοτεινὸν καὶ μεγίστων πτωμάτων παραίτιον, τοῦ μεγάλου τούτου γένους καὶ πολυανθρώπου κεκράτηκε!

Πρώτη μὲν οὖν καὶ μεγίστη τόλμη τῶν Ἰταλῶν, ἡ ἐν τῷ ἁγίῳ συμβόλῳ τῆς πίστεως ἀπηγορευμένη προσθήκη, ὅπερ ἵνα μήποτε ἀποτολμηθῇ, ἀναθέματι αἰωνίῳ αἱ οἰκουμενικαὶ καὶ ἅγιαι σύνοδοι τοὺς τολμήσοντας καθυπέβαλον. Καὶ ὁ βουλόμενος ἀναγινωσκέτω τὸν τῆς οἰκουμενικῆς ἕκτης συνόδου πρῶτον κανόνα, οὕτω ῥητῶς περὶ τέλος λέγοντα: εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατεῖ καὶ

(1) Cotel. ἐλλείπει: ποτε. (2) ἐλλείπει: καὶ. (3) ὑψίζεται.

ἀσπάζεται, καὶ οὕτω δοξάζει τε καὶ κηρύττει, ἀλλ᾽ ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειρεῖ, ἔστω ἀνάθεμα, κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων ἁγίων καὶ μακαρίων πατέρων, καὶ τοῦ χριστιανικοῦ καταλόγου, ὡς ἀλλότριος ἐξωθείσθω καὶ ἐκπιπτέτω· ἡμεῖς γὰρ οὔτε προστιθέναι τι οὔτε μὴν ὑφαιρεῖν κατὰ τὰ προορισθέντα παντελῶς διεγνώκαμεν, ἢ καθ᾽ ὁντιναοῦν δεδυνήμεθα λόγον. Καὶ ταῦτα μὲν ὁ δηλωθεὶς κανών. Ὅτι δὲ κατὰ πᾶσαν οἰκουμενικὴν σύνοδον συνευδοκῶν ἦν καὶ ὁ κατὰ τὴν ἡμέραν πάπας διὰ τοποτηρητῶν τοῖς κεκηρυγμένοις δόγμασί τε καὶ κανόσιν, οὐδεὶς τῶν τροφίμων λόγου ἠγνόησε.

Τί οὖν (1) τὸ ἐνταῦθα συναγόμενον; ὅτι περ οἱ νῦν τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεῖς, οὐδὲ τοὺς ἐπὶ τῶν οἰκουμενικῶν καὶ ἁγίων ἑπτὰ συνόδων ἀρχιερεῖς τῆς πρεσβυτέρας Ῥώμης ἀποδέχονται καὶ ἀσπάζονται, ἀλλ᾽ ὡς ἡμᾶς τοὺς Γραικούς, κἀκείνους ἀποστρέφονται καὶ ἐξουθενοῦσι, μὴ δεχόμενοι τὰ παρ᾽ ἐκείνων συνοδικῶς λαληθέντα καὶ κυρωθέντα, ὡς εἶναι τοὺς νῦν Ἰταλοὺς νέας πίστεως δογματιστάς, καὶ ἑτέρων κανόνων ἐφευρετάς· ζητείτωσαν οὖν καὶ Χριστὸν ἕτερον καὶ ἀποστόλους ἑτέρους· καὶ γὰρ οἱ ἐπὶ τῶν συνόδων θεοφόροι καὶ θεοκήρυκες πατέρες, οὐ πεπιστεύκασιν εἰς πνεῦμα ἅγιον ἐκ δύο προσώπων τὴν ὕπαρξιν ἔχον, ἀλλὰ πεπιστεύκασι τῷ Χριστῷ, ὡς καὶ ἐν τοῖς ἄλλοις ἅπασι, καὶ ἐν τοῖς περὶ τοῦ πνεύματος λόγοις (2) παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι τοῦτο διδάξαντι.

Ταῦτα μὲν συνοπτικῶς τῇ ὑμετέρᾳ ἀγάπῃ ἐδήλωσα, ἵνα γνῶτε πόσον ἔστι (3) κακὸν τὸ πνευματικῶς ὑποτάττεσθαι καὶ πειθαρχεῖν ταῖς τῆς πρεσβυτέρας Ῥώμης ἰδιορυθμίαις· φείδομαι γὰρ τραχύτερόν τι εἰπεῖν· ὅθεν καὶ ἐπισκήπτομαι πᾶσι τοῖς λαϊκοῖς, ὅσοι τῆς καθολικῆς ἐκκλησίας ἐστὲ τέκνα γνήσια, φεύγειν ὅλῳ ποδὶ ἀπὸ τῶν ὑποπεσόντων ἱερέων τῇ λατινικῇ ὑπο-

(1) Cotel. νῦν. (2) λόγος. (3) ἐστί.

ταγῇ, καὶ μηδὲ εἰς ἐκκλησίαν τούτοις συνάγεσθε, μηδὲ εὐλογίαν ἐκ τῶν χειρῶν αὐτῶν δέχεσθε τὴν τυχοῦσαν· κρεῖσσον γάρ ἐστιν ἐν τοῖς οἴκοις ὑμῶν τῷ θεῷ προσεύχεσθαι καταμόνας, ἢ ἐπ' ἐκκλησίας συνάγεσθαι μετὰ τῶν λατινοφρόνων ὑποταγάτων. Εἰ δέ τις τῶν εἰρημένων ἱερέων βίῳ μὲν κοσμεῖται σεμνῷ καὶ εὐλαβείας ἀντέχεται, τοῦτο δὲ μόνον ἐστὶν ἡμαρτηκώς, τὸ διὰ βίαν ἢ συναρπαγὴν ὑπενδοῦναι τῇ ἐπεισφρησάσῃ ταῖς αὐτόθι ἐκκλησίαις τυραννίδι λατινικῇ, καὶ τὸν πάπαν ἔχειν ἀρχιερέα ὁμολογῆσαι, ὁ τοιοῦτος ἄλλως μὴ παραχωρείσθω σὺν ὑμῖν ἐκκλησιάζεσθαι καὶ ἱερατικῶς ἐνεργεῖν, εἰ μὴ πρότερον κατὰ πρόσωπον τοῦ ἀρχιεπισκόπου τῶν Λατίνων καὶ τῶν ὑπ' αὐτῷ ἐπισκόπων ἐπιστραφεὶς εἴποι, οὐχ οὕτως ἔσται· ἀλλ' ὁ προσαπεσταλμένος συνοδικὸς ἀφορισμὸς κρατείτω καὶ πάλιν, μέχρις ἂν κατὰ τὴν περίληψιν τῆς τοιαύτης γραφῆς, πρὸς τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ τὴν ἡμῶν μετριότητα ἀναδράμωσι (1).

Καὶ οἱ ὑπ' αὐτοὺς κληρικοί, ὅσοι τὴν ἡμετέραν ἀσπάζονται ἐκκλησίαν, καὶ τῆς πατροπαραδότου πίστεως ἀντέχεσθαι βούλονται, οὐχ ὑποκείσονται τοῖς τὴν ὑποταγὴν ποιησαμένοις ἀρχιερεῦσιν αὐτῶν, οὐδὲ ἀφοριζόντων αὐτῶν ἕνεκα τοῦ πείθεσθαι τῇ λατινικῇ (2) ἐκκλησίᾳ, μικρόν τι ἐπιστραφήσονται, ὁ γὰρ τοιοῦτος ἀφορισμὸς ἄκυρός ἐστι, καὶ πρὸς τοὺς (3) ἀφορίζοντας μᾶλλον ἐπαναστρέφει, ὅτι καὶ σκανδάλων γεγόνασι πρόξενοι τῷ λαῷ τοῦ Θεοῦ, καταπατήσαντες τὴν τῶν ἱερῶν κανόνων ἀκρίβειαν, καὶ τοὺς ἐπιβήτορας καὶ ἀλλοτριοεπισκόπους δεξάμενοι, καὶ χεῖρας δόντες αὐτοῖς, σημεῖον εὐπειθείας καὶ δουλώσεως, κἂν διϊσχυρίζωνται λέγοντες, ὡς οὐ καταπροδεδώκαμεν τὰ πάτρια ἡμῶν ἔθη, οὐδέ τι τῶν ἱερῶν κανόνων ἔξω πεπράχαμεν· μὴ εἰδότες ὃ λέγουσιν· οἱ γὰρ τῶν ἁγίων ἀποστόλων καὶ τῶν θείων πατέρων κανόνες ἀφορισμῷ καθυποβάλ-

(1) Cotel. ἀνεδραμῶσι. (2) ἐλλείπει: λατινικῇ. (3) ἐλλείπει: τούς.

λουσι τοὺς τῶν ἀλλοτρίων ἐνοριῶν κατεπεμβαίνοντας ἐπισκόπους· ἀλλὰ καὶ (1) ἀναθέματι καθυποβάλλουσι· καὶ ἔχει μὲν οὕτως τὸ ἀληθές.

Ὑμεῖς δὲ λαὲ περιούσιε τοῦ Χριστοῦ, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε, τοὺς ἀτάκτους σωφρονίζοντες, ἐλέγχοντες τοὺς τὴν εὐσέβειαν παραποιοῦντας, μηδὲν τῶν ὀρθῶν δογμάτων καταπροδιδόντες, ὧν ἀνέκαθεν παρειλήφατε, πᾶσαν θλίψιν βιωτικὴν καὶ πᾶσαν ζημίαν, χαρὰν καὶ κέρδος ἡγούμενοι, ἵνα μόνον ἐν ὑμῖν ἄσυλος διαφυλαχθείη ὁ τῆς ὀρθοδόξου πίστεως θησαυρός, ὃν ἐν τῷ τέλει τῆς ζωῆς ἕκαστος ἡμῶν ἐπιφερόμενος, ἐξέλθοι τούτου τοῦ βίου, γυμνὸς μὲν ἐξ ἁπάντων τῶν κατὰ κόσμον πραγμάτων, ἐπὶ μόνῳ δὲ τούτῳ τῷ θησαυρῷ τὰς ἐλπίδας σαλεύων, καὶ τῆς εὐκταίας ἐκείνης φωνῆς προσδοκῶν ἐπακοῦσαι: ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην, ἧς οὐκ ἔστιν ὅριον οὐδὲ τέλος.

Εἴητε φυλαττόμενοι πάντες τῇ παντοκρατορικῇ δεξιᾷ τοῦ θεοῦ, Ρωμαῖοί τε καὶ Σύροι, ὅσοι τε ἱερῷ κοσμεῖσθε ἀξιώματι, καὶ ἀκαταδούλωτον τὴν γνώμην φυλάττετε ἀπὸ τῆς περὶ πίστιν νέας παρεκτροπῆς, καὶ ὅσοι ἐν λαϊκοῖς ἐστε ζηλωταὶ τῆς ὀρθοδοξίας θερμοί.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν. Μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος β΄. (2).

(1) Cotel. πληρεστέρα ἡ περίοδος οὕτω: καὶ τοὺς καινοτομίαν εἰσάγοντας εἰς τὴν ἀμώμητον πίστιν τῶν χριστιανῶν ἀναθέματι καθυποβάλλουσι. (2) ἐπινεμήσει.

Δ.

Διήγησις τῶν ἁγίων τριῶν καὶ δέκα ὁσίων πατέρων τῶν διὰ πυρὸς τελειωθέντων παρὰ τῶν Λατίνων ἐν τῇ νήσῳ Κύπρῳ ἐν τῷ ,ϛψλθ′ ἔτει.

Εἰ καὶ τὴν παιδείαν ἄμοιρος καὶ ἀμέτοχος ἐγὼ ὁ τάλας, καὶ τὴν γνῶσιν ἀμύητος, καὶ τὸν λόγον ἀμαθής, καὶ τοῦ λέγειν ἀνάξιος, ἀλλὰ θαρρῶ(ν) εἰς τὴν τοῦ πανυγάθου φιλανθρώπου ἡμῶν ἀγαθότητα, καὶ πολλὴν οὖσαν καὶ ἀνείκαστον, καὶ μέτρῳ οὐχ ὑποβαλλομένην, εὔελπίς εἰμι καὶ πρόθυμος τοῦ λέγειν τὰ τῶν ἁγιωτάτων ὁσίων ἀνδρῶν διηγήματα. Ἀλλ' ἄρτι παρακαλῶ ἀρξαμένου τοῦ διηγήματος, πιστὰς τὰς ἀκοὰς ὑφαπλώσαντες τὸν λόγον εἰσδεξώμεθα. Ἔχει δὲ ὧδέ πω. Καὶ τὰ μὲν ὀνόματα τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν μαρτύρων, εἰσὶ ταῦτα: Ἰωάννης, Κόνων, Ἱερεμίας, Μάρκος, Κύριλλος, Θεόκτιστος, καὶ Βαρνάβας, οἱ δύο αὐτάδελφοι Μάξιμος καὶ Θεόγνωστος, Ἰωσήφ, Γεννάδιος, Γεράσιμος, Γερμανός· οἱ πάντες οὗτοι μιᾶς ποίμνης τοῦ ἀληθινοῦ Χριστοῦ ποιμένος ἄκακα πρόβατα. Οἱ δὲ τούτων ἔξαρχοι καὶ καθηγηταὶ ὑπῆρχον οἱ ἄνωθεν προμνημονευθέντες, Ἰωάννης φημὶ ὁ τοῦ Βαπτιστοῦ Ἰωάννου ταῖς τρίβοις ἑπόμενος, καὶ Κόνων ὁ τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, οἳ καὶ ὑπῆρχον ἐκ τοῦ Καλοῦ Ὄρους, ἔν τινι τῶν ἐκεῖσε μοναστηρίων ἀσκούμενοι, κοινῇ τῇ γνώμῃ κοινὰ φρονοῦντες, κοινὰ μελετῶντες, ὡς καὶ περὶ τῆς ἀληθοῦς πίστεως μέχρις αἵματος ἑαυτοὺς ἐκδοῦναι. Καταλιπόντες οὖν τὸ θαυμαστὸν τοῦτο Καλὸν Ὄρος, ἔφθασαν εἰς τὴν καθ' ἡμᾶς

νῆσον Κύπρον, καὶ ἐν τῇ θαυμασίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῇ ἐπικεκλημένῃ τοῦ Μαχαιρᾶ ἀνελθόντες, εἰς τὸ ἡσυχαστήριον τῆς αὐτῆς μονῆς ἑαυτοὺς ἐγκλείσαντες, καλῶς τὸν ἀσκητικὸν δρόμον διήνυον, ἔχοντες μεθ' ἑαυτῶν καὶ τὸ τῆς ὑπακοῆς τέκνον καὶ μαθητὴν αὐτῶν, τὸν μοναχὸν Ματθαῖον, ὃν καὶ διὰ τοῦ ἀγγελικοῦ σχήματος ὕστερον Μάρκον μοναχὸν μετωνόμασαν. Ἐν ταύτῃ οὖν τῇ θαυμασίᾳ μονῇ καλῶς τὸν τῆς ἡσυχίας κανόνα ἐκτελοῦντες, καὶ πᾶσι τοῖς ἐκεῖσε μονάζουσι τύπος καὶ ὑπογραμμὸς γενόμενοι, εἰς πᾶσαν ὡς εἰπεῖν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων αὐτῶν. Ἐν τούτοις τοῖς καλοῖς ἔργοις καὶ κατορθώμασιν ὄντας τοὺς ὁσίους πατέρας ἡμῶν, τῆς φήμης αὐτῶν ἀκηκοὼς ὁ θαυμαστὸς Θεόδωρος, καταλιπὼν καὶ αὐτὸς πατρίδα, γένος, ὕπαρξιν, καὶ τῇ μητρὶ αὐτοῦ συνταξάμενος, καὶ τὴν αὐτῆς εὐχὴν καθάπερ θώρακα περιβαλλόμενος, κατέλαβε καὶ οὗτος τὸ εὐαγὲς τοῦτο μοναστήριον, καὶ τοῖς ὁσίοις τούτοις πατράσιν ἐντυχών, ἅπαντα τὰ κατ' αὐτὸν αὐτοῖς ἀπεκάλυψε, καὶ τὸ ὅπως πόθον ἔχει ἔμπυρον τοῦ γενέσθαι μοναχός, καὶ αὐτοῖς συνεῖναι τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ. Οἱ δὲ θείῳ κινούμενοι πνεύματι ἐδέξαντο ἀσμένως, οὐ μέντοι ἀπέκειραν αὐτόν· ἡμερῶν δὲ διελθουσῶν οὐκ ὀλίγων, ἐάσαντες τοῦτο τὸ μοναστήριον τῆς ὑπεραγίας Θεοτόκου τοῦ Μαχαιρᾶ, καὶ τὸν καθηγούμενον τῆς αὐτῆς μονῆς Ἰωακεὶμ ἀσπασάμενοι καὶ ἅπαντας τοὺς ἀδελφούς, ἐξῆεσαν, τοῦ θεοῦ ὡς οἶμαι ὁδηγοῦντος πρὸς τὴν τῆς ἀθλήσεως ὁδόν. Περινοστοῦντες τοίνυν ὧδε κἀκεῖσε, καὶ ζητοῦντες τόπον ἡσυχίας, ἀπῆλθον εἰς τὴν σεβασμίαν μονὴν τοῦ Κουτζουβένδη, οὓς καὶ ἰδόντες οἱ ἐκεῖσε μονάζοντες πατέρες καὶ ἀδελφοί, ἄσμενοι αὐτοὺς ὑπεδέξαντο. Ἰδόντες οὖν τὸν τόπον καὶ μὴ εἰς τὸ ἡσυχάσαι ἐπιτήδειον εὑρόντες, ἀνεχώρησαν τῶν ἐκεῖσε· ἐρωτήσει δὲ τὴν ἐρώτησιν ποιούμενοι, κατέλαβον τὸ εὐαγὲς μοναστήριον τῆς ὑπεραγίας Θεοτόκου τῆς Καντανιωτίσσης, τὸ

πλησίον τοῦ κάστρου Καντάρας, καὶ τοῦτο ἰδόντες ἐπιτήδειον ὂν πρὸς τὸ ἡσυχάσαι, ἐκεῖσε προσέϐαλον, τοῦ θεοῦ ὡς οἶμαι τοῦτο οἰκονομήσαντος, ἔχοντες μεθ' ἑαυτῶν καὶ τὸν προλεχθέντα Θεόδωρον, ὃν καὶ ἐσύστερον ἀποκείραντες Θωμᾶν μετωνόμασαν· ὁ δὲ τούτου ἀδελφὸς Βασίλειος, τὸ εὐθαλλὲς βλάστημα, ὁ θεῖος πρέμνος, συνῆν τῇ μητρὶ αὐτοῦ εἴς τινα γυναικείαν μονὴν ἐν τῇ Λευκωσίᾳ τῆς ὑπεράγνου θεομήτορος, τὴν ἐπονομαζομένην Μεγάλην Μονήν, θρηνῶν ἅμα καὶ ὀδυρόμενος τὴν τοῦ καλοῦ ἀδελφοῦ στέρησιν, ἐν πάσῃ τε καὶ ὥρᾳ καὶ ἡμέρᾳ τοῦτο ἐργαζόμενος καὶ μὴ παυόμενος, καὶ ἐν νυκτὶ τὰ ὅμοια λούων τὴν κλίνην τοῖς δάκρυσι, πρὸς τὸν εὔσπλαγχνον καὶ εὐσυμπάθητον θεὸν καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔλεγε· Κύριε ὁ θεὸς ἡμῶν, ὁ διὰ σπλάγχνα ἐλέους κατελθὼν ἐπὶ τῆς γῆς, καὶ σαρκωθεὶς ἀσπόρως ἐκ τῆς ἀχράντου σου μητρὸς καὶ ἀειπαρθένου Θεοτόκου Μαρίας, ὁ εἰπὼν οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, αὐτὸς οὖν δέσποτα, ἐπάκουσον κἀμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου, καὶ καταξίωσόν με συγκαταριθμηθῆναι τοῖς ἁγίοις σου δούλοις τούτοις τοῖς ὑπὲρ σοῦ ἀγωνιζομένοις κατὰ τὸ παρόν, καὶ τὸν τελευταῖον κίνδυνον προσδοκῶσι πείσεσθαι· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας· ἀμήν. Ὁ δὲ εὔσπλαγχνος καὶ πανοικτίρμων θεός, ὁ ἐκ κοιλίας μητρὸς τοὺς αὐτοῦ δούλους γινώσκων, ζήλῳ θείῳ πυρώσας τὸν αὐτοῦ δοῦλον Βασίλειον, καταλιμπάνει καὶ αὐτὸς πάντα τὰ τοῦ βίου τερπνὰ καὶ τὴν εὐλογημένην αὐτοῦ μητέρα, καὶ συνταξάμενος αὐτῇ, καὶ εὐχῆς ταύτης ὡς ἐζήτησεν ἀπολαϐών, καταλαμϐάνει καὶ αὐτὸς τὸ μοναστήριον, ἐν ᾧ οἱ ἅγιοι οὗτοι πατέρες ἦσαν, εὐλογῶν καὶ δοξάζων Χριστὸν τὸν θεὸν ἡμῶν, καὶ προσπεσὼν τοῖς ποσὶ τούτων, ἠντιϐόλει ἐκζητῶν τοῦ ποθουμένου τυχεῖν· οἱ δὲ τὸ ἔνθεον τοῦ ἀνδρὸς ἰδόντες καὶ διάπυρον, ἀπέκειραν τοῦτον μετονομάσαντες Βαρλαάμ· ἦν δὲ ὑποταττόμενος αὐτοῖς, καὶ πᾶσαν διακονίαν ἀγογγύστως

τε καὶ ἀόκνως ἐκπληρῶν, καὶ ταπεινὸς τοῖς πᾶσιν ἐγνωρίζετο ἀληθῶς, τῇ ἀκακίᾳ τῆς γνώμης καταλαμπόμενος.

Ἐν ταύτῃ δὲ τῇ μονῇ ὄντων τῶν ὁσίων πατέρων καὶ καλῶς τὸν τῆς ἡσυχίας δρόμον διανυόντων, οὐ μόνον ἐν τῇ καθ' ἡμᾶς γενεᾷ καὶ χώρᾳ ἐξῆλθεν ἡ φήμη αὐτῶν, ἀλλὰ καὶ εἰς τὰς περιξ πόλεις τε καὶ χώρας· διά τοι τοῦτο καὶ Κλήμης ὁ τοῦ Παγκάλου ἐπονομαζόμενος, ἱερεὺς ὤν, καὶ αὐτὸς ὡς εἰπεῖν ἐξ αὐτῶν τῶν μητρικῶν ἀγκαλῶν τῆς μοναχικῆς πολιτείας ἐντεθραμμένος, μαθὼν τὴν τῶν ὁσίων πατέρων τούτων ἄγαν ἐγκράτειαν, ἔσπευσε πρὸς αὐτοὺς ἀφικέσθαι· γνωρίζει τοῦτο τῷ καθηγουμένῳ τῆς μονῆς, ἐν ᾗ παιδιόθεν ἐμόνασε, καὶ ἅπασι τοῖς ἐκεῖσε ἀδελφοῖς, καὶ ἀσπασάμενος τούτους καὶ λαβὼν παρ' αὐτῶν εὐχήν, καταλαμβάνει καὶ αὐτὸς τὸ μοναστήριον, εἰς ὃ ὁ θεὸς ἅπαντας οἰκονομικῶς συνήθροισε, καὶ λαβὼν τὴν συνήθη τοῖς μοναχοῖς μετάνοιαν, καὶ αἰτήσας εὐχήν, ἔμεινε καὶ αὐτὸς εἰς τοῦτο τὸ μοναστήριον. Ἀλλὰ καὶ Ἱερεμίας τις ἀπὸ τοῦ Καλοῦ Ὄρους, τὸν ἡσύχιον καὶ αὐτὸς καὶ θεάρεστον μετερχόμενος βίον, μαθὼν τὰ περὶ τῶν τοιούτων καὶ ἁγιωτάτων ἀνδρῶν τῆς ἀσκήσεως καλὰ ἔργα, ἐάσας τὴν μονὴν ἐν ᾗ διῆγε, φθάνει καὶ οὗτος πρὸς τοὺς ὁσιωτάτους πατέρας τούσδε, καὶ τοῖς αὐτῶν προσπίπτων ποσί, μετὰ δακρύων ἔλεγε· εὐχαριστῶ τῷ ἀγαθῷ καὶ πανοικτίρμονι θεῷ, ὅτι με τῆς καλῆς ταύτης συναυλίας συνήγαγε καὶ ἠξίωσε· μεθ' ὑμῶν ἀποθανοῦμαι, τίμιοι καὶ ἅγιοι πατέρες! ἐφθέγγετο ζεούσῃ τῇ καρδίᾳ. Οἱ δέ, κείμενον ὄντα καὶ τοιαῦτα λέγοντα, ἐγείραντες ἐκ τῆς γῆς, καὶ ἀσπασάμενοι αὐτὸν οἱ γέροντες, ἔμεινε καὶ αὐτὸς μετ' αὐτῶν εἰς τόδε τὸ μοναστήριον, συνεργοὺς εὑρὼν τοῦ καλοῦ ἔργου τῆς ἀσκήσεως, ἧς ἱμείρετο· οὐδὲ γὰρ ἦν τὸν δακτύλιον μὴ τοὺς τύπους τῆς σφραγῖδος τῷ κηρῷ μεταδοῦναι. Ὅθεν καὶ οὗτος τὴν στάσιν αὐτῶν καὶ καρτερίαν τῆς προσευχῆς, καὶ πᾶσαν σκληραγωγίαν καὶ ἐγκράτειαν βλέπων καὶ ἐκ-

τυπούμενος, τοῖς ὁμοίοις καὶ οὗτος ἐχρῆτο. Τούτων οὕτως ἐχόντων καὶ τῆς αὐτῶν φήμης διαλαμπούσης, Μιχαὴλ καὶ Θεόδωρος οἱ αὐτάδελφοι ἀπὸ τοῦ Καλοῦ Ὄρους καὶ οὗτοι ὄντες, τὸν τρόπον χρηστοί, τὸν βίον σώφρονες, τὸν νοῦν εὐφρονέστατοι, καὶ περικαλλέστατοι ἐν τῇ καθ' ἡμᾶς νήσῳ φανέντες, καὶ τοῖς ὁσίοις πατράσι τούτοις γνωστοὶ ὄντες, τὴν καλὴν ἅμιλλαν καὶ οὗτοι ἁμιλλῶνται, καὶ πάντα τὰ τοῦ κόσμου ὡς μάταια λογισάμενοι, ἀφέντες πλοῦτον, γένος, ὕπαρξιν, ἅμα τῷ μαθητῇ αὐτῶν Ἰωάννῃ, καὶ προσμοναρίῳ ὄντι καὶ πρεσβυτέρῳ τῆς μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Παλλιουριωτίσσης, εἰς τόδε τὸ μοναστήριον ἔφθασαν, ψάλλοντες συμφώνως καὶ οὗτοι τὸ τοῦ Δαυΐδ, ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχὴ ἡμῶν πρὸς σὲ ὁ θεός! Οὓς καὶ ἰδόντες οἱ ὅσιοι πατέρες ἡμῶν, ἠγαλλιάσαντο λέγοντες, δόξα τῷ οὕτως εὐδοκήσαντι θεῷ ἡμῶν, καὶ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντι, καὶ εἰς ἑνότητα πάντας ἡμᾶς ἀγαγόντι· ὅτι αὐτῷ πρέπει αἴνεσις. Καὶ εὐχαριστήσαντες, καὶ τὸν ἐν Χριστῷ ἀσπασμὸν ἀλλήλοις ἀπονείμαντες οἱ γέροντες, ἔμειναν καὶ οὗτοι εἰς ἐκεῖνο τὸ μοναστήριον, εἰς ὃ θεὸς οἰκονομικῶς πάντας ἐκεῖσε συνήγαγεν· οἱ δὲ ὅσιοι πατέρες ἡμῶν τῇ χάριτι τοῦ παναγίου πνεύματος καὶ τούτους ἀποκείραντες, τὸν μὲν πανθαύμαστον Μιχαὴλ μετωνόμασαν Μακάριον, τὸν αὐτάδελφον τούτου Θεόδωρον, Θεοδώρητον, τὸν δὲ μαθητὴν αὐτῶν Ἰωάννην, Ἱλαρίωνα· ἦσαν δὲ πάντες οὗτοι, ὡς προέφημεν, εἰς τόδε τὸ μοναστήριον· συνῆν δὲ τούτοις καὶ ὁ καλὸς Γερόντιος μοναχός, καλῶς ταῖς χρείαις τῶν ὁσίων τούτων ἀνδρῶν διηνεκῶς ἐξυπηρετῶν, μέχρι καὶ τοῦ ἀρίστου ἀγῶνος. Καὶ ἦν ἰδεῖν γέροντας πράξει καὶ θεωρίᾳ ἐκλάμποντας, τῷ πνεύματι ζέοντας, καὶ τῷ κυρίῳ δουλεύοντας· ψαλμῳδία γὰρ ἦν αὐτοῖς ἀκατάπαυστος, καὶ στάσις παννύχιος, ἐν χερσὶν ἀεὶ τὸ ἐργόχειρον, καὶ οἱ ψαλμοὶ ἐπὶ στοματος· λογος γὰρ ἀργὸς παρ' αὐτοῖς ὡς ἀποτρόπαιος ἐλε-

λόγιστο, φροντὶς πραγμάτων παρ᾽ ἐκείνοις οὐ μεμελέτητο· οὐ προσόδους ἐτῶν ἀριθμούμενοι καὶ ἐναποτιθέμενοι, οὐ μόχθους τῆς ζωῆς αὐτῶν ἐφευρίσκοντες καὶ μηχανώμενοι, καὶ μεριμνῶντες πρὸς τὸ μὴ τῇ στερήσει τούτων ἐσαύριον ἐπιζητεῖν, ἀλλὰ πιστεύοντες τῷ ἀψευδεῖ στόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ μὴ μεριμνᾷν, τῇ αὐταρκείᾳ συζῶντες, καὶ ὅσον τὸ ἐν ὀλίγοις τισὶ μεμεριμνημένον τὸ πᾶν εἰς θεὸν ἀνατιθέμενοι· ἓν δὲ ἦν τούτοις ἅπασι τὸ σπουδαζόμενον, νεκρωθῆναι τῷ σώματι, ὡς ἅπαξ τῷ κόσμῳ ἀποθανόντες καὶ μὴ ὑπάρχοντες, καὶ σὺν Χριστῷ εἶναι καὶ ὀνομάζεσθαι. Καὶ οὕτως ἦν παρ᾽ αὐτοῖς τὰ μελετώμενα, καὶ καλῶς ἐφυλάττετο. Ἐπεὶ δὲ οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ ὑπὸ τὸ μόδιον κρύπτεσθαι τὸν λύχνον, οὐδὲ τούτων τὰ καλὰ ἔργα ἐλάνθανε περιᾳδόμενα, ἀλλὰ μᾶλλον εἰσέτι ἡ καλὴ φήμη τούτων ὑπερεκτείνετο, οὐ μόνον δὲ εἰς τοὺς τῆς καθ᾽ ἡμᾶς γενεᾶς, ἀλλὰ καὶ εἰς τοὺς λατίνους. Ὁ δὲ μισόκαλος καὶ ἀεὶ βασκαίνων τοῦ γένους ἡμῶν, μὴ φέρων ὁρᾷν ἑαυτὸν πατούμενον ὑπὸ τῶν τοιούτων ἁγίων ἀνδρῶν, ἤγειρέ τινα ζηλωτὴν κακίας καὶ ὄργανον, Ἀνδρέαν ὀνόματι, τῷ γένει λατῖνον, ὃν οἱ τοῦ γένους εἰώθασι καλεῖν, Κήρυκα· τοῦτον ὁ διάβολος ζήλου κακίας ἐμπλήσας, καθάπερ τὸν Σίμωνα μάγον κατὰ τῶν κορυφαίων Πέτρου καὶ Παύλου φημί, ζέοντα τῷ φθόνῳ καὶ τῷ θυμῷ, καὶ ἕνα τῶν αὐτοῦ ὁμοφρόνων καὶ ὁμοτρόπων ὄντα λαβὼν τοὔνομα Ἱλίερμον, ἄνεισιν εἰς τὸ ὄρος τῆς Καντάρας, καὶ εἰς ὃ ἦσαν οἱ ἅγιοι οὗτοι μοναστήριον καταλαβόντες, εἰσῆλθον ἐντὸς τοῦ ναοῦ, καὶ ἐκάθηταν ἀμφότεροι, καὶ προσαγορεύσαντες τούτους, τὴν προσήκουσαν τιμὴν καὶ αὐτοὶ πρὸς αὐτοὺς ἀπέδωκαν· ὁ δὲ Ἀνδρέας τὴν ἀλωπεκῆν ὑποδύς, ἔφησε πρὸς αὐτοὺς — πόθεν καὶ πότε καὶ ποίῳ τρόπῳ εἰς τοῦτο τὸ μοναστήριον κατοικήσατε; ἔφησαν δὲ οὗτοι· τὸ μὲν πόθεν ἐσμέν, οὐκ ἀναγκαῖον μῖν λέγειν· ὠφελείας δὲ χάριν ἐνταῦθα ἐληλύθαμεν, καὶ τῆς

ὀρθοδόξου πίστεως ὑπάρχομεν συμμύσται καὶ ὑπασπισταί. Κἀκεῖνος ἤρξατο ἐρωτᾷν αὐτοὺς ἔκ τε τοῦ ἁγίου εὐαγγελίου καὶ τοῦ ἀποστόλου· οἱ δὲ πάντα καλῶς ἐσαφήνισαν. Ὁ δέ, ἀκούσας αὐτῶν ὅτι πάντα σαφῶς ἡρμήνευσαν, λέγει αὐτοῖς, πῶς δὲ τὰς ἱερὰς μυσταγωγίας ἐκτελεῖτε; οἱ δὲ ἀντέφησαν· καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ κήρυκες τοῦ θεοῦ λόγου, καὶ μετ' αὐτοὺς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι τῶν ἁγίων καὶ θεοφόρων πατέρων, ἄρτον ἔνζυμον, καθὼς καὶ ὁ τοῦ θεοῦ πατρὸς λόγος ἐν τῷ μυστικῷ δείπνῳ λαβὼν ἄρτον καὶ κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, λάβετε φάγετε, τοῦτό μου ἐστι τὸ σῶμα τὸ ὑπὲρ ἡμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· οὕτως πιστεύομεν καὶ οὕτως ὁμολογοῦμεν· ὃ καὶ παρελάβομεν, τοῦτο καὶ εἰς ὑπόμνησιν ἄγομεν, καὶ ἄρτον ἔνζυμον ὀφείλομεν πάντες οἱ ὀρθόδοξοι χριστιανοὶ ἱερουργεῖν. Ὁ δὲ λέγει πρὸς αὐτούς· περὶ ἡμῶν δὲ τῶν λατίνων τῶν τὴν ἱερὰν μυσταγωγίαν ἐκτελούντων τοῦ ἀζύμου τί φατὲ ὑμεῖς; οἱ δὲ σταθερῷ τῷ φρονήματι καὶ γενναίᾳ τῇ γνώμῃ, ἀνταπεκρίναντο· ὡς καὶ προλαβόντες εἴπομέν σοι, τὸ αὐτὸ καὶ νῦν λέγομεν· ὅτι ὁ τοῦ θεοῦ λόγος ὁ ζῶν καὶ ἀεὶ ὤν, ἐν τῷ μυστικῷ δείπνῳ λαβὼν ἄρτον ἔνζυμον, ἔμψυχον, τέλειον, ἅγιον, ὡς μὴ εὑρεθέντος τοῦ τότε ἀζύμου, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν ἔφησε, τουτέστι τὸ ἔνζυμον· καὶ ἡμεῖς οὕτως κρατοῦμεν καὶ πιστεύομεν· περὶ δὲ τοῦ ὑμετέρου λατινικοῦ φρονήματος, καὶ ἀζύμου, περὶ οὗ ποιεῖτε τὴν ἐρώτησιν, οὐ γινώσκομεν, οὔτε παρὰ τῶν τοῦ Χριστοῦ κηρύκων, οὔτε παρὰ τῶν οἰκουμενικῶν καὶ ἁγίων συνόδων τοῦτο παρελάβομεν· διὰ τοῦτο καὶ οἱ τοῦ ἀζύμου τελεταί, ὡς μὴ εἰδότες, τοῦτο προσφέρουσι καὶ τῆς ἀληθείας ἐκπίπτουσι, κακῶς νοοῦντες καὶ παρεκφράζοντες μὴ τὰς γραφὰς ἐξετάζοντες, καὶ τούτων τὸ ἀληθὲς ἐκλέγοντες· εἰ δὲ καὶ ταῖς γραφαῖς οὐ πιστεύετε, ἀλλὰ ἀγνωσίαν ἡμᾶς κατακρίνετε ὡς τὸ ἀληθὲς μὴ

συνορῶντας, τὸ πῦρ ἀμφοτέρους δοκιμάσει· καὶ εἰ θέλετε, ἐκλέξασθε ἐξ ὑμῶν οἷον οἴδατε καὶ ὃν ἔχετε δόκιμον ἐν ταύτῃ δὴ τῇ συγκρίσει, καὶ ἡμεῖς πάλιν τὸ αὐτὸ ποιήσαντες ἔκκριτον ἐκ τῶν ἡμετέρων ὃν ἐπιστάμεθα· λαβέτω μερίδα ἐκ τοῦ ἀζύμου οὗ προσφέρετε ἀνὰ χεῖρας ὁ ὑφ' ὑμῶν ἐκλεχθείς, ὁμοίως καὶ ὁ ἡμέτερος μερίδα ἔνζυμον ἐκ τοῦ θυομένου ἄρτου, καὶ τοῦ πυρὸς ἁπτομένου καὶ λαύρως καίοντος, ἐν αὐτῷ ἀμφότεροι εἰσελθέτωσαν, καὶ οἷος ἐκ τούτων ἀλώβητος διατηρηθήσεται καὶ ἀβλαβὴς ἐξέλθῃ, οὗτος ἔχει τὸ μεῖζον, καὶ τούτῳ πάντες ἐξακολουθήσωμεν. Καὶ ταῦτα μὲν ἔλεγον οἱ τρισμακάριοι καὶ θεῖοι πατέρες, οὐκ ὄγκῳ ἐπάρσεως διακένῳ φυσιούμενοι, ἀλλὰ θείῳ ζήλῳ τῷ μεγάλῳ κἀν τούτῳ Ἠλιοῦ ὡς καὶ ἐν τοῖς ἄλλοις ἐκμιμούμενοι· ὡς γὰρ ἐκεῖνος πάλαι τὸ ὕδωρ τρισσεῦσαι ἐπὶ ταῖς σχίδαξι προστεταχὼς ἤλπιζεν ἐπὶ τὸν θεὸν τὸν ὕψιστον, ὅτι ἐν πυρὶ μάλα θαυματουργεῖν, καὶ τῆς ἐλπίδος οὐ διήμαρτεν, οὕτω καὶ οὗτοι οἱ ὁσιώτατοι· ἐπειδὴ τὰ ἐν τῇ χάριτι γινόμενα, ὡς ἴσμεν πάντες, μείζονα καὶ τελεώτερα τῶν ἐν τῇ παλαιᾷ. Καὶ ταῦτα μὲν ὧδε. Τοῦτο γοῦν τὸ παρὰ τῶν ἁγίων λεχθὲν ἀκηκοὼς θηρίων ὠμότερος ἀνδρῶν, τὴν ἀλωπεκῆν ὑπεκδὺς πρὸς τὸ θηριωδέστερον ἐτράπη, καὶ πρὸς αὐτοὺς ἐπαπειλῶν ἔφησε· ἐπεὶ περὶ τοῦ ἡμετέρου φρονήματος καταφρονοῦντες λέγετε, οὐκ ἄξιόν ἐστι τὸ προσφερόμενον εἰς ἀνάμνησιν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ἄζυμον, ἀλλὰ καὶ ἡμεῖς κακῶς κρατοῦντες ἐναντιούμεθα ὑμῖν, ἔλθετε πάντες ὑμεῖς πρὸς τὴν Λευκωσίαν παραστητόμενοι τῷ βήματι τοῦ ἀρχιερέως ἡμῶν, ὡς λόγον δώσοντες ὑπὲρ ὧν κακῶς καθ' ἡμῶν ἐλαλήσατε! προθεσμίαν καὶ αὐτοῖς δοὺς ἡμέραν τινὰ τοῦ πρὸς αὐτὸν ἀφικέσθαι. Ἐάσας τοίνυν αὐτοὺς ἀπῆλθε τῷ θυμῷ καὶ τῇ αἰσχύνῃ νικώμενος. Οἱ δὲ τῆς ἀληθοῦς πίστεως ὄντως ἀληθεῖς ῥήτορες τούτων τῶν ῥημάτων ἀκηκοότες, ἑνὶ λόγῳ πάντες συμφωνήσαντες — τῷ ὁρισμῷ σου, εἶπον, ἐξακολουθήσομεν, καὶ ὑπὲρ

τῆς ὀρθοδόξου πίστεως ἀποθανοῦμεν, εἰ καὶ μυρίους θανάτους ἡμῖν ἐπαγάγητε· εὐέλπιδες γάρ ἐσμεν ὅτι τῇ ψυχῇ ζησόμεθα, εἰ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀγωνισόμεθα· τὰ σώματα γὰρ ταῦτα προσταλαιπωρήσαντα ταῖς βιαίαις τῶν τυράννων τούτων λατίνων τιμωρίαις, ἐνδύσονται ἀθανασίαν ἐν τῇ ἀτελευτήτῳ ἐκείνῃ ζωῇ· ἀψευδὴς γάρ ἐστιν ὁ εἰπών, ὅστις με ὁμολογήσει ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Καὶ ἅμα τῷ λόγῳ οἱ τῆς νοητῆς ἀμπέλου ἐργάται, κρούουσι τὸ ξύλον, καὶ ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου ἅπαντες συναχθέντες, παννύχιον ὑμνῳδίαν ποιήσαντες, καὶ τὴν θείαν λειτουργίαν ἐκτελέσαντες, μετέλαβον εἷς ἕκαστος αὐτῶν τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων, καὶ ὡς ἐξ ἑνὸς στόματος τὸ θεῖον ἐλιτάνευον λέγοντες· Θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δὸς ἡμῖν τοῖς ἀναξίοις δούλοις σου σταθερὰν τὴν γνώμην καὶ πάγιον εὖ φρονοῦσιν ἅμα ὑπὲρ τῆς ἀληθοῦς πίστεως ἀθλῆσαι καὶ ἀποθανεῖν εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου υἱοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ σου πνεύματος, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ τὸ ἀμήν! ἐκπληρωσάντων, ἐξῆεσαν ἅπαντες ἐκ τοῦ ναοῦ, καὶ πάντα τὰ ἐν τῇ μονῇ καλῶς διαταξάμενοι, κατέλαβον εἰς τὴν Λευκωσίαν ἐν τῇ ἐκεῖσε καλουμένῃ σεβασμίᾳ μονῇ τοῦ ἁγίου Γεωργίου τοῦ Λάμποντος, ἤτοι τῶν Μαγγάνων. Καὶ ἦν ἰδεῖν ἅπαντας τοὺς τοῦ ἡμετέρου γένους ὀρθοδόξους χριστιανοὺς ποταμηδὸν ῥέοντας εἰς θέαν τῶν τοιούτων ὁσίων ἀνδρῶν, αἰτοῦντας τῆς παρ' αὐτῶν εὐχῆς ἀξιοῦσθαι, ἅμα δὲ καὶ τῶν γεγονότων τὴν ἔκβασιν ἀποβλέποντες, μακαρίζοντες αὐτοὺς καὶ οἷον ἐπαλείφοντες πρὸς τοὺς προκειμένους ἀγῶνας. Τούτων δὲ περιᾳδομένων ἀνὰ πᾶσαν τὴν νῆσον, ἔφθασε μέχρι τούτου καὶ ἐν τῇ

μονῇ τοῦ Μαχαιρᾶ καὶ ἠκούσθη· εἰς νοῦν δέ τινες τῶν ἐκεῖσε μοναχῶν ταυτὶ θέμενοι, ὧν ὁ μὲν εἷς Γρηγόριος, ὁ δὲ ἕτερος Ἰγνάτιος, Κύπριοι μὲν τὸ γένος, εὐγενῶν δὲ καὶ πιστῶν γονέων ὑπάρχοντες, συνταξάμενοι τοῖς ἐκεῖσε μοναχοῖς, καὶ θείῳ ζήλῳ καὶ οὗτοι οἱ μακαριώτατοι πυρωθέντες, ἐξῆλθον τῆς μονῆς καὶ ἐπορεύοντο πρὸς τοὺς ὁσίους πατέρας ἡμῶν· πορευόμενοι δὲ κατὰ τὴν ὁδὸν ἔψαλλον, καὶ ὁ μὲν εὐχαριστῶν ἔλεγε, « τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία »· ὁ δὲ ἕτερος ἔλεγε « πληρωθήτω τὸ στόμα μου αἰνέσεως, κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου ὅλην τὴν ἡμέραν ὅλην τὴν μεγαλοπρέπειάν σου ». Ὅτε οὖν ἤγγισαν πρὸς τὴν μονὴν τοῦ ἁγίου Γεωργίου τοῦ Λάμποντος, δραμόντες ἔρριψαν αὐτοὺς ἐν τῷ ἐδάφει τῆς γῆς, αἰτοῦντες εὐχῆς καὶ εὐλογίας τῶν ὁσίων πατέρων ἐκείνων τυχεῖν, καὶ δεόμενοι συνεῖναι τούτοις μέχρι ζωῆς καὶ θανάτου, καὶ στηριχθῆναι ἐν τῷ προκειμένῳ ἀγῶνι αὐτῶν, καὶ συνταχθῆναι τῇ θείᾳ συναυλίᾳ τούτων. Οἱ δὲ τῆς ἀληθείας οὗτοι κήρυκες καὶ τίμιοι γέροντες, ἐδέξαντο αὐτοὺς ἀσμενεστάτως· καὶ συνήχθη τὸ τοιοῦτον ἱερὸν σύνταγμα εἰς τρεῖς καὶ δέκα ἁγίους πατέρας. Ὁ δέ γε Ἀνδρέας μαθὼν τὴν εἰσέλευσιν τῶν ὁσίων ἀνδρῶν, τῷ τε ἀρχιερεῖ αὐτῶν Στόργγῳ ἅπαντα κατέπος ἀνήγγειλεν· ὁ δὲ μὴ (ἀ)μελήσας, τάχιον συνήθροισεν ἅπαντα τὸν ὑπ' αὐτὸν λαὸν ἀπό τε ἀρχιερέων, ἱερέων, γραμματέων καὶ τῶν τῆς ἐκκλησίας αὐτῶν, καὶ παραταξαμένου τοῦ τῶν λατίνων γένους, καὶ τῆς τάξεως γενομένης, καὶ πλῆθος λαοῦ κοινοῦ συναθροισθέντος ἐπὶ τῇ τοιαύτῃ τυραννικῇ ἐπεξετάσει, μετακλήτους ποιεῖται τοὺς ὁσίους· οἱ δὲ εὐθὺς ἐπορεύοντο. Πορευόμενοι δὲ ἔψαλλον κατὰ τὴν ὁδόν· μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου, καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. Προηγεῖτο δὲ τούτοις τὰ τῆς εὐχῆς τῶν ψαλμῶν ὁ παναγιώτατος Κόνων σὺν τῷ θαυμαστῷ Ἰωάννῃ, ἕως οὗ καὶ πρὸς τὴν

αὐλὴν τοῦ ἀρχιερέως τῶν λατίνων ἔστησαν· καὶ φησὶ πρὸς αὐτούς· εἴπατε δή μοι, μονάζοντες, ἀληθῆ εἰσι τὰ παρὰ μαΐστορος Ἀνδρέου λαληθέντα περὶ ὑμῶν; ὅτι λέγετε, οἱ προσφέροντες ἄζυμα ἐν τῷ βόθρῳ τῆς ἀπωλείας εἰσὶν ὡς πεπλανημένοι, κακῶς ἀντινομοθετοῦντες; Καὶ οἱ τίμιοι γέροντες ἀπεκρίναντο ὡς ἐξ ἑνὸς συμφωνοῦντες καὶ λέγοντες λαμπρᾷ τῇ φωνῇ· ἡμεῖς οὕτως λέγομεν, ὅτι ὅσοι τῶν ἀζύμων μεταλαμβάνουσι, τῆς ἀληθείας ἐκπίπτουσι, καὶ ἐναντία τοῦ ἁγίου Εὐαγγελίου καὶ τῶν θείων γραφῶν καὶ τῶν ἁγίων συνόδων παραδογματίζουσι, καὶ πεπλανημένοι εἰσί, καὶ οὐχ οἱ ζῶντες μόνον ἀλλὰ καὶ οἱ προαπελθόντες. Τούτων ἀκηκοὼς τῶν λόγων ὁ τῶν λατίνων ἀρχιερεύς, θυμοῦ ἀσχέτου πλησθείς, ἐκέλευσεν ἅπαντας βληθῆναι ἐν τῇ φυλακῇ, βουλόμενος τῷ καθειργμῷ τούτους καταπειθηνίους ἐργάσασθαι· εἰ δὲ σκληροτέρᾳ τῇ γνώμῃ καὶ ἀμεταθέτῳ τούτους εὑρήσει, κακῶς ἀπολέσει. Οἱ δὲ δήμιοι τούτους βιαίως ἕλκοντες, οὓς μὲν δαίροντες, οὓς δὲ ἀτάκτως ὠθοῦντες, οὓς μετ' αἰσχύνης ἀκοντίζοντες, οὓς δὲ τοὺς πώγωνας τίλλοντες, καὶ λόγους ἀπρεπεῖς κύνας ἀποκαλοῦντες καὶ πατερίνους καὶ ἕτερα τοιαῦτα ἀθέμιτα, τῇ εἱρκτῇ ἐναπέρριψαν. Τοιαῦτα τοίνυν εἰς αὐτοὺς δεδρακότες, φόβος καὶ τρόμος ἦλθεν ἐπὶ πάντας τοὺς κατοικοῦντας ἐν ταύτῃ τῇ νήσῳ Ῥωμαίους, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἄραντες μετὰ δακρύων ἔλεγον· Ἐπίβλεψον, κύριε, ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου, ἥτις τῷ σῷ ὀνόματι ἠρετίσατο ἀποθανεῖν· ἴδε τὴν κάκωσιν ἡμῶν, ἴδε καὶ τὴν θλίψιν· πάντων ἡμῶν κατεκυρίευσαν οἱ αἱμοβόροι θῆρες οὗτοι, καὶ ὡς λέοντες βρύχονται. Ἀλλὰ τοὺς ἐκλεκτούς σου, Κύριε, τούτους καὶ πατέρας ἡμῶν, οἵτινες ὑπὲρ τῆς ἀληθείας ἑαυτοὺς ἐξέδωκαν ἀποθανεῖν καὶ ἀντιστῆναι τοῖς πονηρῶς ἄρχουσιν ἡμῶν καὶ τυράννοις, ἐπίβλεψον εἰς αὐτοὺς καὶ δὸς ἰσχὺν καὶ κράτος κατὰ τῶν ἐναντίων, ὅπως δι' αὐτῶν δο-

ξασθῇ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ τὸ ὀρθόδοξον παρρησιασθείη, καὶ τὸ τεταπεινωμένον καὶ ὑπόδουλον ποίμνιον μεγαλυνθείη.

Οἱ δέ γε τῆς κακίας ὑπουργοὶ τῇ ἐνστάσει τῶν τιμίων γερόντων τούτων ἰδόντες, τί μὲν οὐ λέγοντες, τί δὲ οὐ πράττοντες, τί δὲ τῶν ἀτόπων οὐκ ἐφθέγγοντο; βρύχοντες τοῖς ἑαυτῶν ὀδοῦσιν ἐδάκνοντο. Βληθέντες τοίνυν ἐν τῇ φρουρᾷ καὶ σιδήροις τοὺς πόδας ἀσφαλισθέντες, εἰς εὐχὴν ἐτράποντο, Θεὲ καὶ Κύριε, λέγοντες, ὁ καταξιώσας ἡμᾶς τοὺς δούλους σου ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ταῦτα παθεῖν, ἀξίωσον καὶ ἐνίσχυσον εἰς τὸ ἑξῆς εὐθυδρομῆσαι ἐν τοῖς δικαιώμασί σου, καὶ μὴ ὑπενδοῦναι τοῖς βασάνοις, ἀλλ᾽ εἰς ἓν ἡμᾶς φρονεῖν καὶ παθεῖν σύνταξον, ὅτι ἅγιος εἶ εἰς τοὺς αἰῶνας, ἀμήν.

Ἔμενον οὖν ἐν τῇ δεινῇ ταύτῃ φρουρᾷ πᾶσαν κάκωσιν ὑπομένοντες οἱ καρτερικώτατοι οὗτοι ἅγιοι πατέρες, τῇ δυσωδίᾳ, τῇ ταλαιπωρήσει καὶ τῇ ἑτέρᾳ θλίψει εὐχαριστοῦντες θεῷ ὡς ἐνιαυτὸν ἕνα, ἄρτου καὶ ὕδατος μεταλαμβάνοντες· καὶ ἦν ἰδεῖν τὸ φρεσμωτήριον ἐκεῖνο, φροντιστήριον μᾶλλον, τῇ παννυχίῳ δεήσει καὶ τῇ ἄκρᾳ ἀσκήσει, καὶ τῇ πολιτείᾳ τῇ ἀρίστῃ, καὶ τῇ ψαλμῳδίᾳ τῇ διηνεκεῖ τῶν ἀρίστων ἐκείνων ἀνδρῶν· εὐχαριστοῦντες οὖν τῷ πανοικτίρμονι θεῷ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ εἷς ἕκαστος αὐτῶν τοιοῖσδε τοῖς λόγοις τοῦ ψαλμῳδοῦ ἐχρῶντο. Ὁ ἐν πᾶσι τοίνυν ἔξαρχος ἐν ταῖς εὐχαῖς καὶ ἐν ταῖς ἀποκρίσεσι τῆς τοιαύτης θείας λογάδος Γωάννης ἔλεγε: καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Ὁ ἡγιασμένος Κόνων ἔλεγεν· ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ὁ καθαρὸς τῇ καρδίᾳ Ἱερεμίας ἔλεγε· παρανόμους ἐμίσησα, τὸν δὲ νόμον ἠγάπησα· βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Μάρκος ὁ πεφωτισμένος τῷ πνεύματι ἔλεγεν· ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς

τοῦ θεοῦ μου. Κύριλλος ὁ τῆς ἀληθείας κῆρυξ ἔλεγεν· ὁδὸν ἀληθείας ᾑρετισάμην, τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ὁ θαυμαστὸς Θεόκτιστος ἔλεγε· βοήθησόν μοι, Κύριε, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώματί σου διὰ παντός. Ὁ ταπεινὸς τὰ πάντα Βαρνάβας εὐχαριστῶν ἔλεγε· ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζήσομαι κατὰ τὸν λόγον σου καὶ ἀποθανοῦμαι ἐν τῇ ἀληθείᾳ. Μάξιμος, ὁ καὶ τῇ ἐπωνυμίᾳ ἀλλὰ καὶ τῇ πράξει Πάγκαλος, ἔλεγε· καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ τυράννων ἀρχιερέων καὶ οὐκ ᾐσχυνόμην. Θεόγνωστος ὁ τῷ θεῷ γνωστός, εὐχαριστῶν ἔλεγε· καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου αἷς ἠγάπησα σφόδρα, καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Ὁ θεῖος Ἰωσὴφ ἔλεγεν· ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Γεννάδιος ὁ ἐκ τῆς γεννήσεως αὐτῆς τῷ κυρίῳ ἀφιερωθείς, εὐχαριστῶν ἔλεγεν· ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Γεράσιμος, ὁ γέρας τίμιον ἑαυτὸν τῷ θεῷ προσάξας, ἔλεγε· παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα· βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Γερμανός, ὥς πέρ τι ἕρμαιον τοῖς τοῦ Δαυῒδ χρώμενος, καὶ αὐτὸς ἐφθέγγετο εὐχαριστῶν· μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Συμπληρωθέντος τοίνυν τοῦ ἐνιαυσιαίου ἐκείνου καιροῦ, ἤχθησαν πάλιν πρὸς τὸν τῶν Λατίνων ἀρχιεπίσκοπον εἰς δευτέραν ἐρώτησιν· καὶ φησὶ πρὸς αὐτούς· ἄρτι μένετε τῇ προτέρᾳ ἀγνωσίᾳ ὑμῶν, ἢ τοῦ καιροῦ διδάξαντος μεταμεληθέντες ὠθήσατε τὰ παρ' ὑμῶν λεγόμενα ἀποτρόπαια; Οἱ δὲ γεννάδες καὶ τῆς ἀληθείας κήρυκες, ὡς ἐξ ἑνὸς συνθήματος ἐβόησαν· μὴ δῴη ἡμῖν Κύριος κρύψαι τὴν ἀλήθειαν καὶ φανερῶσαι, τὸ ψεῦδος! Καὶ τῷ ἀρχιερεῖ ἔφησαν· τοῦτο γνωστὸν ἔστω σοι, δέσπο-

τα, ὅτι ὃ εἴπαμεν, τὸ αὐτὸ πάλιν κηρύσσομεν καὶ λέγομεν, καὶ λέγειν οὐ παυσόμεθα· ὅτι οἱ τῶν ἀζύμων μεταλαμβάνοντες τῆς ἀπωλείας εἰσὶ μέτοχοι. Καὶ πάλιν αὐτοὺς τῇ εἱρκτῇ παρέδωκεν ἀσφαλῶς κατέχεσθαι παρὰ τῶν δημίων. Καὶ μετὰ χρόνους τρεῖς, ὁ ἀρχιεπίσκοπος πρὸς τὰ μέρη τῆς Ἀνατολῆς βουλόμενος ἀπελθεῖν διά τινας δουλείας αὐτοῦ, εἰς τρίτην ἐρώτησιν αὖθις τοὺς τοιούτους πατέρας παρέστησεν, ὅπως διὰ τοῦ τριττοῦ τῆς πεύσεως τὸ βέβαιον αὐτῶν μάθῃ καὶ ἀληθὲς, καὶ δῆλα ποιήσῃ τῷ πατριάρχῃ αὐτῶν λεγομένῳ Ἱεροσολύμων, καὶ λέγει πρὸς αὐτούς· εἴπατε δή μοι μονάζοντες, τὶ ἐσκέψασθε περὶ τοῦ ἀζύμου; ἔστι σῶμα Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ, ἢ οὔ; Οἱ δὲ μιᾷ τῇ φωνῇ θαρσαλέως ἐβόησαν· μὴ γένοιτο, Χριστὲ βασιλεῦ, τοιοῦτον εἶναι τὸ ἄζυμον, ὡς σὺ φής. Ὁ δὲ καὶ αὖθις θυμοῦ πλησθείς, παρέδωκεν αὐτοὺς τῷ Ἀνδρέᾳ, κἀκεῖνος τῇ φυλακῇ παραδοὺς τῷ δεσμοφύλακι αὐτοὺς ἀσφαλῶς τηρεῖν παρήγγειλεν.

Ὁπόσα δὲ δεινὰ ὑπέστησαν ἐν τῇ φυλακῇ ἐν ὅλοις τοῖς τρισὶν ἔτεσι ποία γλῶσσα δυνήσεται ἐκφράσαι; τοὺς πόνους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ταλαιπωρίας, τὰς ἐν λιμῷ καὶ δίψῃ κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι! Οἱ δέ, ἀδάμαντες τῇ ψυχῇ καὶ τῇ πίστει, γενναίως ταῦτα ὑπέφερον. Ἐν ταύτῃ οὖν τῇ ζοφώδει καὶ δεινοτάτῃ φρουρᾷ ὄντων τῶν ὁσίων πατέρων τούτων καὶ ὁμολογητῶν τῆς ἀληθείας, Θεοδώρητος ὁ (ἐκ) τοῦ Καλοῦ Ὄρους ὁρμώμενος, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Θεόγνωστος, νόσῳ δεινῇ περιπεσὼν ἐν αὐτοῖς τοῖς δεσμοῖς τὴν ψυχὴν τῷ θεῷ παρέθετο· οἱ δὲ συναγωνισταὶ τούτῳ θεῖοι πατέρες θρηνοῦντες, ἅμα δὲ καὶ εὐχαριστηρίους ᾠδὰς ἀναπέμποντες, τὸν θεὸν ἐδοξολόγουν τὸν πάντα σοφῶς πρὸς τὸ συμφέρον οἰκονομοῦντα. Ὁ δέ γε Ἀνδρέας μαθὼν τὴν τοῦ ὁσίου πατρὸς τούτου τελευτήν, προσέταξεν ἵνα τὸ ἅγιον αὐτοῦ λείψανον διὰ μέσης τῆς χώρας

ἕλκοντες ἀνηλεῶς τῷ πυρὶ παραπέμψωσιν· ὃ καὶ γέγονε· τοῦ πυρὸς γὰρ εὐτρεπισθέντος, καὶ τοῦτο πρὸς ὕβριν ὡς δῆθεν τοῦ ἡμετέρου γένους γεγονότος, καὶ ἑλκομένου διὰ τῆς ἀγορᾶς, εἰς τὸ πῦρ ἐνέβαλον. Καὶ οὕτως ἐτελειώθη αὐτοῦ τὸ μαρτύριον κατὰ τὸ ͵ςψλθʹ ἔτος, μηνὶ ἀπριλλίῳ εʹ.

Οἱ δὲ ὅσιοι πατέρες οὗτοι, τῆς εἰς θεὸν ἐκδημίας αὐτῶν προγνόντες, καὶ πάντας τοὺς ἐν τῇ φυλακῇ ἀδελφοὺς ὄντας, τοὺς μήπω τοῦ ἀγγελικοῦ σχήματος ἀξιωθέντας, τούτους τῷ θείῳ σχήματι καταξιοῦσι· καὶ τὸν μὲν Ματθαῖον ὠνόμασαν Μάρκον, τὸν δέ γε Κλήμεντα, Κύριλλον, τὸν θαυμαστὸν Θωμᾶν, Θεόκτιστον, τὸν Βαρνάβαν, Βαρλαάμ, τὸν Μακάριον τὸν ἀπὸ τοῦ Καλοῦ Ὄρους, Μάξιμον, τὸν Ἱλαρίωνα, Ἰωσήφ, τὸν Ἰγνάτιον, Γεννάδιον, τὸν Γρηγόριον, Γεράσιμον, καὶ τὸν Γερόντιον, Γερμανόν· ὁ γὰρ Ἰωάννης, ὁ Κόνων καὶ ὁ Ἱερεμίας προγενεστέρως τούτου ἠξιώθησαν. Ὁ δέ γε Ἀνδρέας, παρελθόντων τῶν τριῶν χρόνων, καὶ οὕτως τῷ θυμῷ νικώμενος τῷ προτέρῳ, πάλιν εἰς ἑτέραν ἐξέτασιν αὐτοὺς παρέστησε, καὶ φησὶ πρὸς αὐτούς· ἔτι ἐμμένετε τῇ προτέρᾳ ὑμῶν κακοβουλίᾳ λέγοντες, ὅτι τὸ ἄζυμον ἁγιαζόμενον ὑπὸ τοῦ ἱερέως οὐκ ἔστι σῶμα Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν; Οἱ δὲ λαμπρᾷ τῇ φωνῇ ἐβόησαν λέγοντες· ἡμεῖς οὕτως ἀποκρινόμεθα, καὶ εἰς ἐπήκοον πάντων τῶν παρατυχόντων ἐπιβεβαιοῦμεν καὶ διαμαρτυρόμεθα· καὶ μὴ ἀποβλέψητε εἰς ἡμᾶς τοὺς πτωχοὺς καὶ ταπεινοὺς μοναχούς, καὶ καταφρονήσητε τῆς δίκης, μὴ δὲ τὴν κρίσιν τῶν πενήτων εἰς οὐδὲν λογισθῆτε· ἀλλὰ τὸ ἀληθὲς ἐνοπτριζόμενοι, τῷ ζυγῷ τὸ δίκαιον ἀπόδοτε, ἵνα μὴ τῶν μικρῶν τούτων ἀνδρῶν ὡς εὐτελῶν λογιζόμενοι περιφρονήσαντες, παρὰ τοῦ τὰ πάντα ἐφορῶντος δικαίου κριτοῦ καὶ κυρίου ἡμῶν κατακριθῆτε. Ἡμεῖς χριστιανοί ἐσμεν, ὀρθόδοξοι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, πιστεύοντες εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, πατέρα ἄναρχον, υἱὸν συνάναρχον, πνεῦμα συναΐδιον τὸ ἐκ τοῦ

πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον, τὴν παναγίαν Τριάδα, ὡς οἱ θεῖοι πατέρες ἐδογμάτισαν ἐν τῷ ἁγίῳ συμβόλῳ, καὶ εἰς τὸν ἕνα τῆς αὐτῆς ἁγίας Τριάδος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα, καὶ ταφέντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα, καὶ εἰς οὐρανοὺς ἀναληφθέντα, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρους, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Πιστεύομεν δὲ καὶ εἰς τὸ πανάγιον αὐτοῦ καὶ παντέλειον σῶμα, ὅπερ ταῖς οἰκείαις χερσὶ παρέδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· λάβετε φάγετε, τοῦτο μου ἐστι τὸ σῶμα, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· τοῦτο ἐστὶν ἡ καινὴ διαθήκη· καὶ οὗτοι παρέδωκαν τὴν μίαν καὶ καθολικὴν ἐκκλησίαν τὴν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδοξοῦσαν, ὡς τὰ θεῖα καὶ ἱερὰ εὐαγγέλια διαγορεύουσι καὶ πάντες οἱ ἅγιοι, ὅπερ ἐστι τὸ ἔνζυμον, ὃ καὶ τοῦτο εἰς θυσίαν προσέφερον, καὶ μέχρι τῆς σήμερον τὸ αὐτὸ φυλάττοντες διατελοῦμεν, καὶ πιστεύομεν, καὶ ὁμολογοῦμεν· καὶ εἰ μυρίους θανάτους ἡμῖν ἐπαγάγητε, οὐδὲν τῆς στερρᾶς ταύτης ἐνστάσεως χαυνώσητε, καὶ οὔποτε τῶν πατερικῶν παραδόσεων ὕστεροι φανείημεν, καὶ τῶν ἀποστολικῶν διατάξεων καὶ τῶν ἁγίων πάντων· καὶ εἴ τις τούτοις οὐ πιστεύει, οὐδὲ ἐξακολουθεῖ, οὗτος τῶν πιστῶς ὀρθοδοξούντων οὐκ ἔστιν, ἀλλ' ἔκδηλος ἐστὶν ὁ τοιοῦτος αἱρετικός· ἐπεὶ καὶ ὁ μικρόν τι ἐκκλίνας τῆς ὀρθοδόξου πίστεως, αἱρετικός ἐστι, καὶ τῷ τῶν αἱρετικῶν ὑπόκειται ἀναθέματι. Εἰ δὲ περὶ τῶν ἀζύμων ἡμᾶς ἐρωτᾷς, ἡμεῖς οὐκ ἤλθομεν διαλέγεσθαί σοι περὶ τούτων, ἀλλ' οὔτε μετά τινος ποσῶς ἠβουλήθημεν ἔχειν λόγον ἐν τούτῳ δὴ τῷ τόπῳ, ἀλλ' ἢ μόνον μεριμνᾷν τῆς σωτηρίας τῆς ἡμετέρας· ἐπεὶ δὲ βιαίως ἀναγκάζετε ἡμᾶς εἰπεῖν, ἰδοὺ λέγομεν· καὶ ἀληθῶς ἐροῦμεν, ὅτι οὐ κατὰ θέλησιν ἡμετέραν,

ἀλλὰ κατὰ τὴν παράδοσιν τῶν θείων Γραφῶν· σύνητε δὲ ἐπὶ τοῖς ἡμῶν λόγοις, καὶ τὸ τί διαγορεύουσιν αἱ θεῖαι Γραφαί, μήπως ὕστερον πολλὰ μεταμεληθέντες οὐδὲν ὠφελήσητε. Ἐν τῇ Καινῇ Διαθήκῃ, οὐδὲ εἰς μίαν εὑρίσκεται, ὅτι ὁ Χριστὸς παρέδωκε τὸ ἄζυμον, οὔτε οἱ ἀπόστολοι, μὴ γένοιτο· πᾶς τοίνυν ὁ μὴ εἰπὼν ὅτι ἀπαράδοτόν ἐστι τῇ καθολικῇ ἐκκλησίᾳ τὸ ἄζυμον, πιστὸς χριστιανὸς οὐκ ἔστι, καὶ τῷ ἀναθέματι ὑποκείσεται· πεπίστευται γὰρ ἀληθῶς, καὶ διαβεβαιοῦσιν αἱ θεῖαι Γραφαί, ὅτι τὰ ἄζυμα τῶν Ἰουδαίων εἰσί, καὶ τοὺς ποιοῦντας αὐτὸ σῶμα Χριστοῦ, οὕτως ὁρίζονται οἱ ἅγιοι Ἀπόστολοι καὶ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, ὅτι παράνομοί εἰσι καὶ τὰ τῶν Ἰουδαίων φρονοῦσι, καὶ ἔξω εἰσὶ τῆς ὀρθοδόξου πίστεως, καὶ παραβάται τῆς ἀληθοῦς παραδόσεως· τὸ γὰρ παρὰ Χριστοῦ καὶ πάντων τῶν ἁγίων μαρτυρούμενον ἀληθινὸν σῶμα Χριστοῦ, τὸ ἔνζυμον ἐστίν, ὃ καὶ ἡμεῖς μαρτυροῦμεν, καὶ ὑπὲρ αὐτοῦ πάσχομεν, καὶ ἔχομεν ἀποθανεῖν· εἰ δὲ τοῦτο οὐ παραδέχεσθε, ὁ ἀπόστολος Παῦλος φησίν: ὁποῖόν ἐστιν ἑκάστου τὸ ἔργον, τὸ πῦρ δοκιμάσει· ἐκεῖνο τὸ πῦρ, ὃ καὶ πρὸ καιροῦ ὑμῖν εἰς προαίρεσιν καὶ δοκιμὴν ἐθέμεθα, καὶ ἑτοίμως ἔχει ὁ Θεὸς δεῖξαι ἐκ τούτου τὸ ἀληθές· εἰ δὲ καὶ τοῦτο οὐ θέλετε, ἀλλὰ ἀδίκως ἡμᾶς τῷ θανάτῳ βουληθῆτε παραπέμψαι, ὁ κοινὸς κριτὴς ἐκεῖνος τὴν δικαίαν αὐτοῦ κρίσιν ἀποφανεῖται μέσον ἡμῶν καὶ ὑμῶν· ὃ γοῦν μέλλετε ποιεῖν εἰς ἡμᾶς μὴ κατοκνῆτε!

Ὁ δὲ θηρίων ὠμότερος Ἀνδρέας τούτων τῶν ῥημάτων ἀκούσας καὶ τῷ θυμῷ ὑπερζέσας, ὥρισε καὶ πάλιν βληθῆναι ἐν τῇ φυλακῇ· αὐτὸς δὲ ἀναχωρήσας ᾤχετο, αἰσχύνης ἅμα καὶ θυμοῦ γέμων, ποιήσας τρεῖς ἡμέρας μή τε τινος τροφῆς γευόμενος, μή τε ὕπνῳ ἐπαναπαυόμενος, ἀλλὰ σύννους καθήμενος ἐμελέτα ποίῳ θανάτῳ αὐτοὺς παραπέμψει. Εἷς δὲ τις τῶν Λατίνων καλέσας τὸν μοναχὸν Γεννάδιον, ἐκ τῆς μονῆς ὄντα τοῦ Μαχαιρᾶ, γνώριμος ὢν αὐτῷ, λέγει πρὸς αὐτόν· πεί-

σθητί μοι συμϐουλεύοντί σοι καὶ πρόσελθε τῇ βουλῇ τοῦ Ἀνδρέου, καὶ ἐλευθεροῦσαι τῆς δεινῆς ταύτης κολάσεως· ἄλλως τε δὲ καὶ πατέρα ἔχεις καὶ μητέρα καὶ ἀδελφήν, καὶ τί τὸ ὄφελος καταλιπεῖν αὐτοὺς τοιούτοις δεινοῖς προσομιλεῖν; Ὁ δὲ τῷ ὄντι γενναῖος Γεννάδιος, ἀγρίῳ τῷ ὄμματι προσιδὼν ἔφησε πρὸς αὐτόν: ἀπόστα ἀπ' ἐμοῦ ἐργάτα τῆς ἀδικίας, οὐ γὰρ οἶδας τί λέγεις· τοῦτό μοι ζωὴ καὶ τρυφή, καὶ ἀνάπαυσις, ὃ δεινόν σοι φαίνεται, τὸ πρόξενον ἐκείνης τῆς μακαριότητος· οἱ ἐμοὶ δὲ γονεῖς, καὶ πατὴρ καὶ μήτηρ καὶ ἀδελφοὶ οὗτοί εἰσιν οἱ μετ' εμοῦ, οἳ ἠρετίσαντο ὑπὲρ Χριστοῦ ἀποθανεῖν. Ὁ δὲ τὸ ἀμετάτρεπτον αυτοῦ ἰδών, εάσας ἀπῆλθε. Τοῦτο δὲ ὅλον τῆς τοῦ ἐχθροῦ ἦν ἀπάτης, ἵν' ὥσπερ ποτὲ τὸν Ἰούδαν τοῦ χοροῦ τῶν Α'ποστόλων, καὶ τὸν ἕνα τῶν τεσσαράκοντα Χριστοῦ μαρτύρων δελεάσας ἥρπασε καὶ τοῦ θείου φωτὸς καὶ τῆς γλυκύτητος τοῦ παραδείσου ἐστέρησεν, οὕτως κὰν τούτῳ τῷ μακαρίῳ τὸν δόλον ἠϐούλετο ἐνιέναι· ἀλλ' ἐψεύσθη ὁ δείλαιος καὶ τοῦ σκοποῦ διήμαρτε, τῇ τοῦ Χριστοῦ χάριτι χαριτωθεὶς καὶ φυλαχθεὶς ὁ γενναῖος τῇ πίστει Γεννάδιος, καὶ τὸν δόλον τοῦ δολερῶς δολιευομένου δολίου γενναίως ἐξέφυγε, καὶ τῇ ἐν Χριστῷ αὖθις ἀγέλῃ συναμιλλώμενος ἦν τὴν καλὴν ἅμιλλαν.

Βληθέντων οὖν, ὡς δεδήλωται, τῶν ὁσίων πατέρων ἐν τῇ φυλακῇ, καὶ τριῶν ἡμερῶν παρελθουσῶν, προκαθήσαντος αὖθις τοῦ καταράτου Ἀνδρέου, καὶ τοῦ ρηγὸς τοῦ τότε ἐπικρατοῦντος τῆς Κύπρου Ἐρρὶ μετὰ πάσης τῆς σπαθοφόρου τάξεως καὶ τῶν ἱππέων παραγενομένου, καὶ τῶν τῆς βουλῆς ἁπάντων συνεδριασθέντων, ἀναγγέλλει Ἀνδρέας αὐτῷ πάντα κατ' ἔπος τὰ τῶν ἁγίων ἀνδρῶν, δεικνύων αὐτῷ καὶ ὧν ὡμολόγουν ἐγγράφως, καὶ τὸ ἀμετάτρεπτον τῶν τοσούτων χρόνων ὧν ἐπιέζοντο ἐν τῇ φυλακῇ. Ὁ δέ γε ρὴξ καὶ πᾶσα ἡ τάξις τῶν καϐαλλαρίων ἔφησαν πρὸς τὸν Ἀνδρέαν· σὺ τὰ τῆς ἐκκλησίας δίκαια φέρεις καὶ προάγεις, καὶ εἴ τι φανεῖ σοι ποίησον· ἐμοὶ

γὰρ τὰ τῶν ἐκκλησιῶν οὐ δέδοται, ἀλλὰ τὰ τῶν δημοσίων. Ο δὲ τῆς κακίας υἱὸς ἢ μᾶλλον εἰπεῖν τῆς ἀνομίας, εἶπεν· ἡμῖν οὐκ ἔξεστιν ἀπολέσαι οὐδένα, ἢ μετὰ τὴν ἀπόφασιν τὴν ὑπεύθυνον, πρὸς τὸν δημόσιον παραπέμπειν ἐπὶ τῷ τιμωρήσασθαι.

Τότε οὖν παρέδωκε τούτους πρὸς τὸν ῥῆγα ἀποφηνάμενος ποίῳ θανάτῳ αὐτοὺς ἀπολέσει, οὕτως εἰπών: ἐπεὶ οἱ μονάζοντες οὗτοι τῶν Γραικῶν λέγουσιν, ὅτι τὸ ἄζυμον οὐ δέδοται παρὰ Χριστοῦ προσφέρειν ὑπὲρ αὐτοῦ, ἀλλὰ τὸ ἔνζυμον, κακοὶ κακῶς ἀπολέσθωσαν, καὶ τοὺς εἰς τοῦτο βλασφημοῦντας· ἀποφαινόμεθα, ἵνα πρῶτον δήσαντες αὐτῶν τοὺς πόδας διὰ τῆς ἀγορᾶς τούτους ἕλκωσιν ἤτοι τοῦ ποταμοῦ, ἵνα διὰ τῶν πετρῶν τῶν ἐν τῷ ποταμῷ κατατριβῶσιν αὐτῶν αἱ σάρκες· ἔπειτα δὲ τῷ πυρὶ παραπέμψωσι! Τῆς γοῦν ἀποφάσεως γενομένης καὶ τῶν δημίων ἐφεστηκότων, οἱ ὅσιοι οὗτοι καὶ μακάριοι πατέρες τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἄραντες καὶ μιᾷ φωνῇ εὐχαριστοῦντες ἔλεγον· Κύριε ὁ θεὸς τῶν δυνάμεων, εὐχαριστοῦμέν σοι, ὅτι ἠξίωσας ἡμᾶς κρείττους φανῆναι τῶν καταράτων τούτων λατίνων καὶ ὑπὲρ σοῦ ἀποθανεῖν· οἱ τρεῖς παῖδες ἐν καμίνῳ διὰ πυρὸς ἐδοκιμάσθησαν, ἀλλ' εἰς ἐκείνους μὲν διπλῆν τὴν χάριν παρέσχες, ἐπὶ τῷ κρείττους φανῆναι Χαλδαίων καὶ πυρός· ἡμεῖς δὲ κρείττους φανέντες τῶν λατίνων, δὸς ἰσχὺν μὴ δειλοὺς φανῆναι τοῦ πυρὸς τούτου, ὁλοκαυτούμενοι δὲ ἐν τούτῳ προσδεχθείημεν, ὡς πᾶσαν κηλῖδα ἀποτιναξάμενοι ἀπὸ τῆς ψυχῆς καὶ ἀπονιψάμενοι, καὶ τῆς σαρκὸς ταύτης τῆς εὐτελοῦς καὶ πολυμόχθου μὴ φεισάμενοι, τῆς βασιλείας σου ἀξιωθείημεν τῆς ἀϊδίου· δὸς δὲ καὶ τοῖς ἐκ τῶν λειψάνων ἡμῶν χριομένοις καὶ μνημονεύουσι τὸν ἄξιον μισθὸν αὐτῶν καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα!

Εἶτα φθάσαντες συρόμενοι διὰ τοῦ ποταμοῦ καὶ δεδεμένοι τοῖς ἵπποις καὶ ἡμιόνοις ὄπισθεν, καὶ βωλοσύραντες, οὕτω

γὰρ κοινολογεῖται παρὰ τῶν αὐτοχθόνων καὶ ἡμεδαπῶν, τῷ πυρὶ ἐνεβλήθησαν. Καὶ οὕτως ἐτελειώθησαν οἱ καλλίνικοι τοῦ Χριστοῦ μάρτυρες καὶ καλὰ θρέμματα τῆς αὐτοῦ ποίμνης, οἱ γλυκύτατοι ἄρνες καὶ τῆς ἄνω Σιὼν οἰκήτορες, οἱ γενναῖοι καὶ νέοι ὁμολογηταί, οἱ εἰς τὴν μὲν ἑνδεκάτην τῶν ἑπτὰ αἰώνων ἀσυμφώνως, εὐψύχως δὲ πρὸς μικρὸν ἐργασάμενοι καὶ τέλειον τὸν μισθὸν παρὰ τοῦ παναγάθου δεσπότου δεξάμενοι, καὶ δύο ἀνθ' ἑνὸς ἕκαστος αὐτῶν στεφάνους ἐστεφανώθησαν, πρότερον μὲν δι' ὕδατος τοῦ τῆς κατανύξεως διελθόντες, ὕστερον δὲ διὰ πυρὸς δοκιμασθέντες· καὶ ἐπληρώθη εἰς αὐτοὺς τὰ τοῦ προφήτου Δαυῒδ ῥήματα· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· ὧν τῆς μερίδος ἀξιωθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ πατρὸς ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ καὶ ἀγαθῷ αὐτοῦ πνεύματι, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

E.

Ἐπιστολὴ τοῦ ἁγιωτάτου κυροῦ Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικοῦ πατριάρχου πεμφθεῖσα πρὸς τὸν πάπαν Γρηγόριον.

Ὦ Κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή· σὲ γὰρ τὸν ἀκρογωνιαῖον λίθον, τὸν πολυτελῆ, τὸν ἐκλεκτόν, τὸν ἔντιμον, κατὰ τὴν περὶ σοῦ τοῦ προφήτου προσηγορίαν, εἰς θεμέλιον ὑποβάλλω ταύτης τῆς κοσμωφελοῦς πραγματείας· δεδίδαγμαι γὰρ ἀπὸ σοῦ τοῦτο, ὅτι πᾶς ὁ πιστεύων εἰς σὲ οὐ καταισχυνθήσεται, οὐδὲ τῆς τῶν ἐλπίδων αὐτοῦ παρασαλευθήσεται βάσεως.

Καὶ ἔχει μὲν οὕτως το ἀληθές, καὶ οὐδεὶς ἀντειπεῖν τολμήσειεν ἄν, εἰ μὴ τῷ πατρὶ τοῦ ψεύδους προφανῶς μεμαθήτευται. Ἔργον δὲ σοῦ τοῦ ἀκρογωνιαίου λίθου, τὰ κατὰ γνώμην διεστηκότα εἰς ἑνότητα πίστεως συνάγειν τὰ διαιρούμενα. Καὶ Παῦλος ὁ καὶ τοῦ Ἡσαΐου μεγαλοφωνότερος, σὲ εἶναι τοὺς μακρὰν καὶ τοὺς ἐγγὺς εἰρήνην εὐαγγελιζόμενον διαμαρτύρεται, τὸν καὶ τὰ πέρατα τῆς οἰκουμένης διὰ τῆς ἐπὶ τοῦ σταυροῦ τῶν χειρῶν σου ἐκτάσεως συγκαλεσάμενον πρὸς ἐπιστροφὴν, καὶ ἐναγκαλισάμενον πατρικῶς. Λοιπὸν δέομαί σου τῆς ἀπλανοῦς ὁδοῦ καὶ σωτηριώδους, ἄνωθεν εὐόδου τὸν λόγον ὁ ζῶν τοῦ πατρὸς λόγος, ἡ παντοδύναμος καὶ ἐνυπόστατος σοφία τοῦ θεοῦ, αὐτὸς οἰκονόμησόν μοι τὸν οἶκον τῆς ὑποθέσεως, καὶ σὺ ἔσο ταύτης καὶ θεμέλιος καὶ ὄροφος, ὁ κατὰ τὴν θεολογικὴν τοῦ Ἰωάννου φωνὴν ἄλφα καὶ ὦ λεγόμενος, ὡς τοῦ παντὸς ἀρχὴ καὶ τέλος ὁ ἀπεριόριστος. Τὰ μὲν τῆς εὐχῆς ἐν τούτοις· καὶ δὴ πρότερον ἄραντες τοὺς ὀφθαλμοὺς εἰς τὰ ὄρη τὰ ἐπουράνια, ὅθεν ἥξει ἡ βοήθεια ἡμῶν ἐπευξάμενοι· ἤδη δὲ καὶ πρὸς σὲ τὸν ἁγιώτατον πάπαν τὸν τοῦ ὑψηλοτάτου θρόνου τὴν προσεδρίαν λαχόντα, τὸ τοῦ λόγου μετατρέπομεν πρόσωπον· καὶ θέλησον ὑποκαταβῆναι μικρὸν τοῦ ὕψους τῆς δόξης σου, καὶ προσχεῖν μου τοῖς ῥήμασι τοῦ χθαμαλοῦ μὲν τῷ βίῳ, τῷ λόγῳ δὲ ἰσχνοφώνου, εἴπερ εἶ μιμητὴς τοῦ ἐν ὑψηλοῖς κατοικοῦντος καὶ τὰ ταπεινὰ ἐφορῶντος θεοῦ. Ἄρξομαι δὲ ἐντεῦθεν, καὶ κλῖνον τὸ οὖς σου εὐμενῶς καὶ ὑπόδεξαι τῶν ῥημάτων μου.

Ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, ἡ ἐκ τοῦ μὴ ὄντος τὰ πάντα καθάπαξ παραγαγοῦσα δημιουργικῶς, πάντοτε δὲ συνέχουσα προνοητικῶς, εἴωθε πολλάκις ἐκ μικρᾶς οἷά τινος θεμελίου καταβεβλημένης ἀφορμῆς, μεγάλας πράξεις ἐσύστερον ἐποικοδομεῖν καινωφελεῖς τε καὶ σωτηριώδεις· Ἰωσὴφ γάρ, ὡς ἴσμεν, ἀργυρώνητος δοῦλος ἐπήχθη, καὶ φυλακῆς λάκκῳ ἐβλήθη, καὶ τοῖς δεσμώταις ἐκκρίνεται, ἀλλὰ τί φησιν ἡ γραφή; ἀπέ-

στειλε βασιλεὺς καὶ ἔλυσεν αὐτον, ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν. Ὅπως ἔνδοξα, ὅπως θαυμάσια, ὅπως ὁ θεὸς διὰ μέσου τόπου δεδόξασται, τὴν ἱεράν σου διάνοιαν οὐ διαπέφευγεν. Εἰς τί δὲ βλέπει λόγος, καὶ τί δηλοῦν γίνεται; Οἱ παρόντες κατὰ θεὸν ἀδελφοί, οἱ περιστατικῷ τινι συναντήματι καὶ φόβῳ τῶν κατακρίτων ἐγγίσαντες τοῦ πανευσεβοῦς βασιλέως καὶ κρατίστου μου αὐτοκράτορος, ὅπως προμηθείας ἠξίωνται, καὶ τῷ προσώπῳ τῆς ἡμῶν ἐμφανίσθησαν μετριότητος, τῇ ἁγιότητί σου γνωριοῦσιν, ἡ καλὴ συνοδία καὶ ἀδιάσπαστος συμψυχία, ὧν ἡ ποσότης τῶν φρονίμων παρθένος ἰσάριθμος, ὅτι ἡ λαμπὰς τῶν ἔργων καὶ τὸ ἐντεῦθεν φῶς ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπει πρὸς δόξαν τοῦ ἐπουρανίου πατρός, καὶ φρονίμων τὸ ἔλαιον ἐπιβάλλουσι τῆς ἀγαθοεργίας ἀεί, ὅπως μὴ κατασβεσθείη το φῶς, καὶ αὐτοὶ πρὸς ὕπνον ἐκτραπῶσι τῆς ἀκηδίας, καὶ ὑπερείργωσι τῆς εἰσόδου τῆς βασιλείας, ἄραβδοι πάντες, μονοχίτωνες, ἀνυπόδετοι, νῦν δὲ καὶ ὡραιωθῆναι τοὺς πόδας αὐτῶν ὑπονοῶ ἀποστολικῶς, εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ μέσον Γραικῶν καὶ Λατίνων, καὶ συντόμως εἰπεῖν ὅλοι κοῦφοι καὶ ἐλαφρότατοι ταχυδρόμοι Χριστῷ σπεύδοντες φθάσαι τῶν καλῶν πάντων τὸ ἀκρότατον, καὶ οὗ γενόμενοι στήσονται τοῦ δρόμου τῆς ἐφέσεως· οὗτοι τοίνυν οἱ κατὰ θεὸν εὐτελεῖς ἀδελφοί, οὕτως ἡνωμένοι ὁμοφροσύνῃ καὶ ὁμονοίᾳ, καὶ ἀναπληροῦντες τὸν πενταδικὸν ἀριθμόν, εἰς ἀγαθὸν σημεῖον ἡμῖν ἀνεφάνησαν, καὶ εἰς ἐλπίδας χρηστὰς παρεβάλοντο, τῆς τῶν πέντε πατριαρχείων σὺν θεῷ φᾶναι φιλοχρίστου ἑνώσεως καὶ ὁμονοίας· παρέβαλον δὲ τῷ ἡμετέρῳ οἰκήματι, κατὰ θείαν πρόνοιαν ὡς πεπίστευκα τὴν πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσαν· καὶ λόγων πολλῶν μέσον ἡμῶν κινουμένων, ἐπολυπραγμονεῖτο πλέον τῶν ἄλλων τὸ πολυχρόνιον σχίσμα τοῦ ἀρράφου χιτῶνος τῆς εὐσεβείας ἄνωθεν ὑφαντοῦ, ὃν ἀποστολικαὶ χεῖρες τὴν καθολικὴν τῶν χριστιανῶν ἐνέδυσαν ἐκκλησίαν, καὶ πατέρων

ἁγίων καὶ διδασκάλων διάφοροι συνελεύσεις συνέσφιγξαν περιζώσασθαι, τολμηραὶ δὲ χεῖρες, οὐμενουν στρατιωτικαί, ἀλλ᾽ἐκκλησιαστικαὶ φαίνεσθαι ἔσχισαν καὶ διέρρηξαν· καὶ τὸ σχίσμα μέγα καὶ πολυχρόνιον, καὶ οὐδεὶς ὁ ἐλεῶν τὴν νύμφην Χριστοῦ οὕτω διερρηγμένον φοροῦσαν ἱμάτιον, καὶ τῆς ἀσχημοσύνης αὐτὴν κατοικτείρων. Τοῦτο οἶμαι καὶ ὁ Δαυῒδ ἐν τοῖς ψαλμοῖς θρηνῳδεῖ, διεσχίσθησαν λέγων, καὶ οὐ κατενύγησαν, εἰ γὰρ καὶ κατενύγημεν, ὠδυνήθημεν ἂν καὶ ἐθλίβημεν· καὶ ἐὰν θλίψιν καὶ ὀδύνην εὕρωμεν, τὸ ὄνομα κυρίου ἐπικαλεσόμεθα. Καὶ ἔτι ἡμῶν ἐπικαλουμένων, ἐν ἡμῖν γένηται ὡς ἐν μέσῳ τῶν μαθητῶν πρότερον, εἰρηνοποιῶν τὰ διαμαχόμενα, καὶ τὴν ἀμφιβολίαν τῶν λογισμῶν διορθούμενος· μὴ γὰρ οὐ δάκνεται τὰ σπλάγχνα, μὴ οὐ λυπεῖται τὴν διάστασιν; ναὶ σφόδρα· πατὴρ γάρ ἐστι καὶ πατέρων πάντων φιλοστοργότερος, καὶ οὐκ ἀνέχεται βλέπειν τὰ φίλτατα ἔχθρᾳ διασπώμενα ὑπ᾽ ἀλλήλων, καὶ δίκην ἰχθύων ἀλληλοφαγοῦντα, ἐν τῷ τὸν μείζονα κατεπαίρεσθαι τοῦ ἐλάττονος καὶ τὸν ἰσχυρὸν κατεπεμβαίνειν τοῦ ἀσθενοῦς. Οὕτως ἐδίδαξεν ὑμᾶς ὁ τῶν ἀνθρώπων ἁλιεὺς Πέτρος, ὃς ἀπεναντίας τῇ προτέρᾳ τέχνῃ ἀπὸ θανάτου πρὸς ζωὴν τοὺς ἁλιευομένους μετέφερεν; Ὦ τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι ἡμέρας καὶ νυκτὸς ἐπὶ τῷ συντρίμματι τῆς νέας Σιὼν τῆς ἐξ ἐθνῶν ἐκκλησίας; Πῶς ὁ ἐκλεκτὸς λαὸς τοῦ θεοῦ, εἰς Ἰούδαν καὶ Ἰσραὴλ διῃρέθη, καὶ αἱ πόλεις ἡμῶν εἰς Ἱεροσόλυμα καὶ Σαμάρειαν; Τὰ γὰρ κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἢ τὸν Ἠσαῦ καὶ τὸν Ἰακώβ, τοὺς ἀδελφοὺς μὲν τῇ φύσει, πολεμίους δὲ τῇ γνώμῃ καὶ ἐναντίους· ὀκνῶ παραπλέκειν τὸν λόγον, ἵνα μὴ τὸ πρωτεῖον τῆς ἀδελφότητος ἀτιμάσω καὶ δόξω ὑποκλέπτειν τὰ πρωτοτόκια· πλὴν ἐνταῦθα ὁ πατὴρ ἡμῶν οὐ γεγήρακεν, οὐδὲ ἀμβλυωπεῖ, καὶ τοῖς καταπονουμένοις ἀδίκως τὴν εὐλογίαν χαρίζεται. Εἰσὶ μὲν οὖν, εἰσὶ καὶ ταῦτα πικρά, καὶ τῇ αἰσθη-

τικῇ καρδίᾳ σῆς ὀστέων ἀπλήστως διαβιβρωσκόμενα. Τὸ δὲ νῦν ῥηθησόμενον, χαλεπώτερον καὶ δεινῶν ἁπάντων δεινότερον, καὶ μαχαίρας πάσης τμητικῆς καὶ διστόμου ὀξύτερόν τε καὶ τμητικώτερον καθ' ὧν ἀνθρώπων κατενεχθῇ, εἴτε κατὰ Λατίνων εἴτε κατὰ Γραικῶν· ποῖον τοῦτο; Παύλου λέγοντος ἀκουσώμεθα· ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· καὶ οὐχ ἅπαξ τὴν ῥομφαίαν κατακοντίζει ἀλλὰ δεύτερον· ἵνα σφοδροτέραν ἀπεργάσηται τὴν ὀδύνην διὰ τῆς δευτέρας ἀπάγει· καὶ πρὸς ἀναζήτησιν ἰατροῦ ἀναστῶσιν οἱ τὸν ψυχικὸν φοβούμενοι θάνατον. Τί οὖν φημί; πᾶσαν ἄλλην φροντίδα, πᾶσαν μέριμναν, τυρβασμὸν πάντα ἀπὸ τῆς καρδίας τινάξωμεν, ὡς κονιορτὸν ἀπὸ τῶν ποδῶν, καὶ μετὰ προθυμίας πάσης ζητήσωμεν, τίνων αὕτη καθάπτεται ἡ φοβερὰ καὶ δίστομος μάχαιρα, καὶ τίνας ἐκτέμνει ἀπὸ τῆς ἐκκλησιαστικῆς ὁλομελείας, ἧς ἐστι κεφάλαιον ὁ Χριστός· εἰ μὲν τοὺς Γραικοὺς ἡμᾶς κινδυνεύοντας ἀπολέσθαι, τῷ Σολομῶντι πειθόμενοι· σοφὸς ἀνὴρ παροιμιαστικῶς λέγει· ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· μᾶλλον δὲ αὐτοῦ ἀκούσατε τοῦ θεοῦ τοῦ τὸν Σολομῶντα σοφίσαντος, καὶ φθεγγομένου διὰ τοῦ προφήτου· ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔστω· διὸ καὶ ἡμεῖς οἱ Γραικοί, ἄπληγες μὲν καὶ ἀτραυμάτιστοι ἐκ τῆς μαχαίρας τοῦ ἀναθέματος, κατὰ δὲ Ἰταλῶν καὶ Λατίνων ὀξύτατα φέρεται, καὶ θῦσαι καὶ ἀπολέσαι τινὰς κατειπείγεται· νομίζομεν ὡς οὐκ ἀνθέξεσθε δι' ἄγνοιαν καὶ πεισμονὴν βλαβεράν, τῆς τοῦ Χριστοῦ μερίδος ἀπορραγῆναι, ὑπὲρ οὗ μυρίους ἂν θανάτους εἰ δυνατὸν ἕκαστος ἡμῶν μετὰ χαρᾶς ὑπομεῖναι. Ὅτι δὲ διαφωνία καὶ δογμάτων ἐναντιότης, καὶ κανόνων κατάλυσις, καὶ πατροπαραδότων ἐθῶν ἀλλοίωσις καὶ μεσότοιχοι εἰσὶ τοῦ φραγμοῦ τοῦ διϊστῶντος τὰ πρὶν ἡνωμένα τῷ τῆς εἰρήνης καὶ ὁμονοίας συνδέσμῳ, ἡ οἰκουμένη πᾶσα χεῖλος ἓν γεγονὸς ἀναβοήσεται· ἐντεῦθεν καὶ ἄσπονδος πόλεμος κατ' ἀλλήλων, πόλεων

ἀφανισμοί, σφραγῖδες ἀπῃωρημέναι κατὰ τῶν ἐκκλησιαστικῶν θυρῶν ἱεροπραξίαις παντοίαις, ἵνα μὴ γραικικαῖς φωναῖς δοξολογῆται θεός. Ἓν ἐλείπετο μόνον, καὶ γέγονε καὶ αὐτό, ἵνα μαρτυρίας καιρὸς ἐνστῇ, καὶ βῆμα τυραννικὸν προτεθῇ, καὶ θρόνος μαρτυρικὸς ἀνοιγῇ, καὶ ἡμεῖς πρὸς τὸ στάδιον τῆς μαρτυρίας ἀναβησώμεθα, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισόμενοι, καὶ παντακρατορικῇ στεφθησόμεθα δεξιᾷ· οἶδεν ἃ λέγω· ἡ Κύπρος ἡ περιώνυμος νῆσος, νέους μάρτυρας θεασαμένη καὶ στρατιώτας Χριστοῦ, οἳ πρότερον δι' ὕδατος διελθόντες δακρύων τῆς κατανύξεως καὶ τοῖς ἱδρῶσι λουσάμενοι τοῖς ἐκ τῶν ἀσκητικῶν τοῦ σώματος πόνων ἐπὶ χρόνοις μακροῖς, τὸ τελευταῖον διῆλθον διὰ πυρὸς καὶ ὕδατος· καὶ ἐξήγαγεν αὐτοὺς ὁ ἀγωνοθέτης θεὸς εἰς τὴν οὐράνιον ἀναψυχήν. Καλά γε ταῦτα, ἁγιώτατε καὶ τοῦ ἀποστόλου Πέτρου διάδοχε; Ταῦτα παραγγέλλει ὁ τοῦ πρᾴου καὶ ταπεινοῦ τῇ καρδίᾳ Χριστοῦ μαθητής; οὕτω καταρτίζει τοὺς πρεσβυτέρους διὰ τῆς ἐπιστολῆς; πρεσβυτέρους φησὶ τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός, ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μὴ δὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μὴ δ' ὡς κατακυριεύοντες τοῦ κλήρου, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθαι τὸν ἀμαράντινον τῆς δόξης στέφανον. Αὕτη ἐστὶν ἡ τοῦ Πέτρου διδασκαλία, καὶ ὄψονται οἱ μὴ πειθαρχοῦντες αὐτῇ. Ἡμῖν δὲ παράκλησιν ἐκεῖνο τὸ μέρος τῆς ἐπιστολῆς ἐν τῷ ἀγαλλιᾶσθαι παραγγέλλει, λυπουμένοις ἄρτι ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ἡμῶν τῆς πίστεως εὑρεθῇ πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. Ἀλλὰ σύγγνωθι, ἅγιε δέσποτα, καὶ τῶν προτέρων τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερέων συμπαθέστατε καὶ πρᾳότατε, καὶ

ἀνάσχου ῥημάτων δριμύτητος μετεχόντων· παθαινομένης γὰρ καρδίας γεννήματα, καὶ δίδοται συγγνώμη παρὰ τῶν εὐδιακρίτων ἀνδρῶν τοῖς διὰ λύπην λαλήσασί τι δακνηρόν· ζῶσαι δὲ ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, καὶ ἄναψόν σου τὸν λύχνον τῆς διακρίσεως, καὶ ζήτησον τὴν ἀπολλυμένην δραχμὴν τῆς ἐπὶ τῇ πίστει ἑνώσεως, καὶ συγκαταπαθήσομέν σου τῇ ἁγιότητι καὶ ἡμεῖς· οὐ φεισόμεθα σώματος ἀσθενοῦς, οὐ γῆρας προφασισόμεθα, οὐ μακρὰν ὁδοιπορίαν· ὅσον γὰρ ἐγκοπότερόν ἐστι τὸ ἐγχείρημα, τοσοῦτον πλειόνων στεφάνων παραίτιον· ἕκαστος γὰρ κατὰ τὸν ἴδιον κόπον μισθὸν λήψεται, ὡς ὁ οἰκουμενικὸς σταδιοδρόμος καὶ μεγαλώνυμος στεφανίτης, ἔφησε Παῦλος. Οὐκ ἀγνοοῦμεν, ὦ θειότατε δέσποτα, ὅτι καθάπερ ἡμεῖς οἱ Γραικοὶ διϊσχυριζόμεθα κατὰ πάντα ὀρθοδοξεῖν τε καὶ εὐσεβεῖν, καὶ εἰς μηδὲν παρασφάλλεσθαι τῶν ἀποστολικῶν δογμάτων καὶ πατερικῶν, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ τῆς πρεσβυτέρας Ῥώμης ἐκκλησία περὶ ἑαυτῆς διενίσταται, καὶ διὰ τὸ μὴ οἴεσθαι κατά τι σφάλλειν, οὐδὲ θεραπείας χρήζειν λέγειν καὶ διορθώσεως· τοῦτο καὶ παρὰ τῆς τῶν Γραικῶν ἐκκλησίας καὶ παρὰ τῆς τῶν Λατίνων λεγόμενον οἴδαμεν· καὶ γὰρ οὐδείς ποτε ἐν τῷ ἰδίῳ προσώπῳ ἀσχημοσύνην ἀκριβῆ καθορᾶν δύναται, εἰ μὴ πρὸς κάτοπτρον παρακύψειεν, ἢ παρ' ἑτέρου ἢ ὅπως ἄρα τῆς ὄψεως ἔχει, εἴτε ἀψόγως εἴτε καὶ μή. Ἔχομεν κάτοπτρα καὶ ἡμεῖς πολλά τε καὶ ἐμφανέστατα, τὸ φωτοειδὲς τοῦ Χριστοῦ εὐαγγέλιον, τὰ ἐπιστολιμαῖα τῶν ἀποστόλων γράμματα, τὰς βίβλους τῶν θεολόγων πατέρων· παρακύψωμεν εἰς αὐτά, κἀκεῖνα διδάξωσιν ὅπως ἔχοι φρονήματος ἕκαστος, εἴτε νενοθευμένου, εἴτε γνησίου· ὁ δὲ προσκαλούμενος εἰς τὴν τοῦ κατόπτρου δοκιμασίαν καὶ ἀναχωρῶν, ὡμολόγησε καὶ ἄκων τὸ πρόσωπον τὸ δύσμορφον. Ὁ θεὸς συντρίψοι τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει, τὸν μαχοποιὸν ὁ εἰρηνοποιός, τὸν μισόκαλον ὁ τῶν καλῶν πάντων αἴτιος, τὸν σκανδαλοποιὸν ὁ τῆς ἀγάπης

θεός, καὶ ἀποστεῖλαι πρὸς τοὺς ποιμένας ἡμᾶς τῶν λογικῶν προβάτων αὐτοῦ ἄγγελον χαρὰν μεγάλην εὐαγγελιζόμενον, ὡς πρότερον ἐπὶ τῇ κατὰ σάρκα γεννήσει αὐτοῦ τοῖς ποιμέσι τῶν ἀλόγων προβάτων καὶ βοσκημάτων, καὶ ἀξιῶσαι ᾆσαι τὴν θαυμαστὴν ἐκείνην ὑμνολογίαν, δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ ἐν ἁγίῳ φιλήματι ἀλλήλους ἀσπάσασθαι· ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν· ἀμήν.

ΣΤ.

Ἡ τοῦ πάπα ἐπιστολὴ Γρηγορίου πρὸς τὸν οἰκουμενικὸν πατριάρχην κῦριν Γερμανόν.

Γρηγόριος ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ θεοῦ, τῷ σεβασμίῳ ἀδελφῷ τῷ ἀρχιεπισκόπῳ τῶν Γραικῶν, σωτηρίαν καὶ ἀποστολικὴν εὐλογίαν· ὡς ἐγγὺς τὸ μαρτύριον τῆς ἀληθείας, ἀφορμὴ δὲ τῆς πλάνης ἡ ἀγνωσία ἐστὶ τῶν γραφῶν, τοῖς πᾶσι συμφέρει ταύτας ἀναγινώσκειν ἢ ἀκούειν ὅ,τι τὸ ἐν αὐταῖς ἡ θεία ἔμπνευσις ἀνέθετο τῇ διδασκαλίᾳ τῶν ἀκολουθησάντων, καὶ ἠθέλησεν ἑλκύσαι ταύτας εἰς φυλακὴν τῶν παρόντων· ἀληθῶς ὁ Ἱεροβοὰμ ὃς ἐποίησεν ἁμαρτῆσαι καθὼς ἀναγινώσκεται τὸν Ἰσραὴλ καὶ προσλαβεῖν εἰς τὴν διαίρεσιν τῶν φυλῶν, προδήλως σημαίνει τὸ σχίσμα τῶν Γραικῶν· καὶ τὸ πλῆθος τῶν βδελυγμάτων τῆς Σαμαρείας, τὰς διαφόρους αἱρέσεις σημαίνει τοῦ πλήθους, ἀπὸ τῆς προσκυνήσεως τοῦ ἀληθινοῦ ναοῦ τοῦ κυρίου, τῆς Ῥωμαϊκῆς δηλαδὴ ἐκκλησίας καὶ τῆς τιμῆς διαχωρισθέντος. Ὅτι δὲ ὁ Χρυσόστομος καὶ ὁ τῆς Ναζιανζοῦ, ὁ μέ-

γας Βασίλειος, καὶ ὁ Κύριλλος παραδόξως ἐξέλαμψαν, αὕτη ἦν οὐράνιος καὶ ὑψηλὴ βουλή, ὡς ἠθέλησε διατελεῖν ἐν μέσῳ τῶν εἰδωλολατρῶν τὸν Ἠλίαν, τὸν Ἑλισσαῖον, καὶ τοὺς υἱοὺς τῶν προφητῶν. Νῦν τὸ λοιπόν, ὅ,τι ἐν τοῖς ἑτέροις γράμμασι τοῖς προαποσταλεῖσί σοι, ἐδήλωσε τὴν αὐθεντίαν καὶ τὸ δίκαιον, περὶ τοῦ πρωτείου τῆς Ρωμαίων ἐκκλησίας, καὶ τὰς μεθόδους ἐνδεχομένως, τοῦτο μόνον προστιθέαμεν· ἔτι ἀμφότεραι αἱ μάχαιραι τῷ ἀρχιερεῖ τῶν Ρωμαίων διαφέρουσιν εἰς τὸ διακρατεῖσθαι, καὶ ἐκ τῆς εὐαγγελικῆς ἀναγνώσεως κατέχομεν· καὶ γὰρ λαλοῦντος τοῦ Ἰησοῦ τοῖς μαθηταῖς περὶ ζητήσεως τῆς πνευματικῆς μαχαίρας, ἐκεῖνοι ἐκεῖ δύο κειμένας ὑπέδειξαν, περὶ ὧν ὁ Κύριος εἶπεν· ἱκανόν ἐστιν· εἰς συνοχὴν δηλαδὴ πνευματικῆς καὶ σωματικῆς προσκόψεως· ἐὰν τὴν κοσμικὴν μάχαιραν παραχωρῇς διακρατεῖσθαι παρὰ τῆς καιρικῆς ἐξουσίας, πρόσχες ὅτι ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ τοῦ Ματθαίου εἶπε τῷ Πέτρῳ· ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· εἰπὼν τὸ σοῦ, ἐσήμανε τὰν κοσμικὴν μάχαιραν, μεθ' ἧς ἀπέτεμε τὸν δοῦλον τοῦ ἀρχιερέως· περὶ τῆς πνευματικῆς γὰρ οὐδενὶ ἦλθεν εἰς δισταγμόν· ὅτι ἤγουν τῷ Πέτρῳ διὰ τῆς πνευματικῆς ἐπισκέψεως ἢ ἀνεγκαλίσεως, τοῦ δεσμεῖν καὶ λύειν τὴν ἐξουσίαν ἔθετο· λοιπὸν αἱ ἀμφότεραι μάχαιραι δίδονται τῇ ἐκκλησίᾳ· πλὴν παρὰ τῆς ἐκκλησίας ἡ μία ὀφείλει ἐνεργεῖσθαι, ἡ δὲ ἑτέρα διὰ τῆς χειρὸς τῆς ἐκκλησίας τῷ κοσμικῷ ἄρχοντι δίδοσθαι· ἡ μία δίδοται εἰς ὑπηρεσίαν αὐτῷ τῷ στρατιώτῃ παρὰ τοῦ ἱερέως, ἡ δὲ ἑτέρα ἀπομένει εἰς τὸ τοῦ ἱερέως θέλημα. Διὰ ταῦτα λοιπὸν καὶ τὰ ἄλλα τὰ μετὰ ταῦτα διατεταγμένα καὶ διατετυπωμένα, σὲ τὸν ἀγαπῶντα τὴν τῆς ἀληθείας ἀνίχνευσιν, ποιήσωσι νοῆσαι τὴν σὴν ἀγάπην, τοὺς παρόντας ἀποκομιστάς, τὸν Οὔγον καὶ Πέτρον τοὺς ἐκ τῶν Κηρύκων, τὸν Ἀμμώνιον καὶ Ραδοῦλφον ἐκ τῆς τῶν Ἐλαχίστων ἀδελφῶν τάξεως, ἄνδρας δυνάμεως, εὐλαβείᾳ συντετηρη-

μένους, καὶ τῇ τῶν ἠθῶν κοσμιότητι καθαρούς, καὶ τῇ τῶν ἱερῶν Γραφῶν γνώσει προσχόντας, φροντίσαντες ἀπεστάλκαμεν πρὸς σὲ καθὼς ἐν τοῖς προμνημονευθεῖσι γράμμασι διερμηνευσάμεθα, ὡς ἂν μετ' αὐτῶν περὶ πάντων ὧν εἰς συζήτησιν ἔλθητε πιστῶς, συντροφικῶς ἐπιφέρῃς καὶ διακριτικῶς ἐν τῷ τροχῷ τοῦ ἐντὸς τοῦ τροχοῦ τοῦ ἀποδειχθέντος τῷ Ἰεζεκιήλ, δυνηθῇς ἀκοῦσαι τὴν φωνὴν τῆς βροντῆς, καὶ κατοπτρίσασθαι ἐν τῷ ὑελίῳ τῆς θαλάσσης· ὅτι ὁ εἷς Ἀδὰμ ὁ τεθεὶς εἰς ἔργον καὶ φυλακὴν τοῦ παραδείσο , καὶ ἡ δοθεῖσα αὐτῷ μία γυνή, προτυποῖ τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ἁγιότητι ἀληθείας, καὶ τὴν μίαν νύμφην τὴν αὐτοῦ ἐκκλησίαν· ὅτι ὁ Λάμεχ, ὃς τεταπεινωμένος σημαίνει, ἐν τῷ τὴν μίαν γυναῖκα διαμερίσαι εἰς δύο, αἱμοχαρὴς ἐγένετο, καὶ ἄνδρα ἀπέκτεινεν εἰς τραῦμα αὐτοῦ. Ἔτι οὐκ ἀναγινώσκεται εἶναι ἑτέρα κιβωτός, εἰ μὴ μία· ὡς γὰρ τὰ πάντα τῷ κατακλυσμῷ διεφθάρησαν, εἰς ἕνα πατριάρχην ἀφεθεῖσα ἡ ἐκκλησία, ὀλίγας ψυχὰς τελειότητι ἀριθμῷ διεφύλαξε· καὶ τὸν νόμον δέδωκεν ὁ θεός· οὐκ ἄλλον δέδωκεν, ἀλλ' αὐτόν· ὥσπερ τὰ δύο Χερουβὶμ τὰ ἐπισκιάζοντα τὸ ἱλαστήριον, οὐκ ἀλλαχόθεν ἐπέστρεφον, ἀλλ' ἔβλεπον πρὸς ἓν πρόσωπον· καὶ τὸν ἕνα χιτῶνα τοῦ Ἰωσὴφ τὸν ὄντα ὑφαντόν, καὶ τοῦ σωτῆρος ἡμῶν τὸν ἕνα ἄρραφον χιτῶνα. Πλὴν ἐὰν διπλῇ ἔννοια τῆς εὐχαριστίας τῆς θείας εἰς διαφορὰν ἕλκῃ τὸ ἡμέτερον ἀπὸ τοῦ ὑμετέρου, πρόσχες ὅτι οὐκ ἔστιν ἕτερον οὐδὲ διαφέρει τοῦ ἑνὸς κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ πρῴην προσλαβόντος δι' ἡμᾶς σάρκα παθητὴν καὶ μετὰ θάνατον παντελῶς διαμείναντος ἀπαθοῦς, καὶ τοῖς Γραικοῖς καὶ τοῖς Λατίνοις ἴσως τὸ μυστήριον τῆς ἡμετέρας σωτηρίας πολυτρόπως ᾠκονομήσαντος. Ὁ Γραικὸς προστρέχων πρὸς τὴν πίστιν μετὰ τοῦ νεωτέρου μαθητοῦ, καὶ τοσαύτης χάριτος οὐ χαριτωθεὶς τῆς ἐκείνου ἀξιότητος, ἣν ὁ θεὸς ἱλέως ἀνθρωπίνως συνέπαθεν, ἄνθρωπος θελήσας παθητὸς

γενέσθαι καὶ ἐκλεγόμενος καθημέραν καὶ μνημονεύων θυσίαν ἀναφέρειν, ἀποκαταστήσας καθὼς ὁ Ἀ'πόστολος λέγει, ὅτι ἐκ τῆς ζύμης τὸ φύραμα φθείρεται ἐν ζύμῃ φθορᾶς, ἢ πρὸ τῆς ἀναστάσεως τὸ κυριακὸν σῶμα ὑποκεῖσθαι ἐδύνατο καθὼς δέδεικται. Ὁ Λατῖνος δὲ μετὰ τοῦ πρεσβυτέρου Πέτρου ἀκολουθήσας τοῖς γράμμασι τοῦ μνημείου, ἐξ οὗ ἐκπορεύεται πνευματικὸς νοῦς, πρῶτος εἰσῆλθε καὶ τὰ ὀθόνια κείμενα εἶδε, τὰ τὸ ἱερὸν καὶ ἅγιον σῶμα ἐντυλίσσοντα, ὅπερ σημαίνει τὴν ἐκκλησίαν· χωρὶς γὰρ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς, τὴν θυσίαν τοῦ δεδοξασμένου σώματος ποιῆσαι θαυμαστοτέρως ἐξελέξατο. Ἀλλὰ τὰ ἀμφότερα ψωμία, ἁπλῶς ψωμία ἐστί, πρὸ τῆς θυσίας· μεταβαλλόμενα δὲ διὰ τῶν κυριακῶν ρημάτων, ψωμία οὐκ ἔστι· καὶ διὰ τοῦτο οὔτε ἔνζυμον, οὔτε ἄζυμον δύναται λέγεσθαι, ἀλλὰ μᾶλλον ἵνα πιστεύηται ἐκεῖνο εἶναι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ διδοὺς ζωὴν τῷ κόσμῳ. Ταῦτα καὶ τὰ τούτοις ὅμοια ἐδίδαξεν ὁ θρόνος τοῦ Πέτρου, χρίσματι πνεύματος καὶ ὑγιᾶ συνέσει· ὄφελον καὶ σύ ποτε τὸν νεώτερον μαθητὴν τὸν ἰδόντα καὶ πιστεύσαντα ἀκολουθήσας, εἰσέλθῃς ἐν πάσαις συνέσεσι, καὶ μεθ' ἡμῶν ἴσως ἀληθῶς ψάλλειν ἐκεῖνο τὸ δαυϊτικόν· ἰδοὺ δὴ τί καλὸν ἢ τὶ τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

Ἐδόθη ἐν Λατεράναις, πεντεκαιδεκάτη(ς) καλάνδης τοῦ ἰουνίου, ἑβδόμῳ ἔτει τῆς ἡμετέρας ἀρχιερωσύνης.

Ζ.

ΛΕΟΝΤΙΟΥ ΜΑΧΑΙΡΑ
ΧΡΟΝΙΚΟΝ ΚΥΠΡΟΥ.

ΕΞΗΓΗΣΙΣ

τῆς γλυκείας χώρας Κύπρου, ἡ ποία λέγεται Κρόνακα τοὐτέστιν Χρονικόν.

Ἐβουλεύτηκα ἐν ὀνόματι τοῦ ἀγαθοῦ θεοῦ τοῦ ἐν τριάδι προσκυνουμένου, νὰ ἐξηγηθῶ περὶ τῆς ἀκριβῆς χώρας Κύπρου. Ὡς χρονοι εἶναι γ΄. ἐν τῷ κόσμῳ, ὁ περασμένος, ὁ εὑρισκόμενος, καὶ ο ἐρχόμενος, ἤτζου εἶναι καὶ ἡ ᾽μέραι τῆς ζωῆς μας, ὡς γίον λαλεῖ ὁ Δαβίθ· ὅτι ἡ μέραις μας διαβαίνουν καὶ μεῖς καταλυοῦμεν τοὺς καρποὺς ἄγουρους, καὶ θανατόνομεν τοὺς γονίους μας, νὰ πάρωμεν τὴν κληρονομιάν τους, ὡς μωροί· καὶ πόσον καιρὸν ν᾽ ἀπαντήσωμεν, μέλλει νὰ ποθάνωμεν, καὶ γιὰ τοῦτον ἂς ἀπομεινίσκομεν ὥςτη νὰ θέλῃ ὁ θεὸς νὰ σηκώνῃ τοὺς γονίους μας καὶ νὰ πέρνωμεν τὴν κληρονομίαν. Δὲ πῶς μᾶς παραπονᾷ ὁ φρένιμος Σολομών, καὶ λαλεῖ· ψέματα τῶν ψεμάτων, ὅλα εἶναι ψέματα.

Ἐπειδὴν τὰ πάντα διαβαίνουν καὶ τὰ γινησκοῦνται ξηγοῦνται, πολλὰ πεθυμοῦν ὅλοι νὰ γροικήσουν τὰ ἐδιάβησαν, καὶ τὰς παλαιὰς ἱστορίας, ὅτι μανθάνουσιν τὰ πράματα τὰ ἐδιάβησαν, καὶ ἀπ᾽ ἐκεῖνα μανθάνουσιν καὶ βλέπουνται, καὶ ἀνὲν καὶ τινὰς ἐμποδιστῇ νὰ βλέπεται, μήπως καὶ γλυτώσουν, θέλω ποίσειν διὰ τῆς χάριτος τοῦ παναγίου πνεύματος μικρὴν ἀνθύμισιν, διὰ νὰ τὴν διαβάζουσιν ἐκεῖνοι, ὁποῦ εὑρίσκουνται, οἱ ποῖγοι θέλουν ἀλεγριάζεσθαι τὰς παλαιὰς ἱστορίας.

Ὁ μέγας Κωνσταντῖνος μετὰ τὸ βαπτιστῆναι εἶπεν, ὅτι ἡ δική μας χώρα ἡ Κύπρος ἔμεινεν χωρὶς τινὰν χρόνους λϛ΄, διατὶ ἐγίνην πεῖνα μεγάλη ἀποὺ ἀβροχίαν, καὶ οὖλη ἡ σπορὰ ἐχάθηκεν· καὶ ἡ πεῖνα ἐγίνην μεγάλη, καὶ οὖλα τὰ νερὰ τῶν βρύσων ἐξεράναν, καὶ ἐπηγαῖναν οἱ ἀνθρῶποι ἀποὺ τόπον εἰς τόπον μὲ τὰ κτηνά τους νὰ εὕρουν νερὸν, νὰ ζήσουν καὶ τὰ κτηνά τους· καὶ οὖλα ἐστεγνῶσαν, καὶ λάκκοι καὶ βρύσες, καὶ ἀφῆκαν τὴν πανθαύμαστον Κύπρον καὶ ἐπεράσαν ὁδῶ καὶ κείω ὅπου πᾶσα εἷς ηὗρεν ἀνάπαυσιν· καὶ τὸ νησὶν ἔμεινεν χωρὶς τινὰν χρόνους λϛ΄. Ὄνταν ἐστράφην ὁ μέγας Κωνσταντῖνος ἀπὲ τὴν εἰδωλολατρείαν εἰς τὴν πίστιν τοῦ Χριστοῦ μὲ ὅσους εἶχεν εἰς τὴν Ρώμην, τότε ἐπῆρεν ὁρισμὸν ἡ ἁγία δέσποινα Ἑλένη ἡ μητέρα του ἀπὲ τὸν υἱόν της νὰ πάγῃ νὰ γυρεύσῃ τὸν τίμιον σταυρὸν εἰς τὸ Ἱεροσόλυμα· καὶ ἦρτεν εἰς τὴν Ἀνατολὴν, καὶ ἦρτεν εἰς τὴν Κύπρον, καὶ ἐπέζευσεν πρὸς τὴν Λεμεσὸν καὶ ηὗρεν τὸ νησὶν ἔρημον, καὶ πολλὰ ἐπικράνθη θωρῶντα τὸ τόσον ὄμορφον νησὶν καὶ ἦτον ἔρημον.

Καὶ μοναῦτα ἐμίσευσεν καὶ ἐπῆγεν εἰς τὴν Ἱερουσαλὴμ, καὶ μὲ μέγαν κόπον καὶ πολλὴν ἔξοδον καὶ φοβερίσματα, καὶ ηὗρεν τὸν τίμιον σταυρὸν καὶ τοὺς ἄλλους β΄. σταυροὺς τοὺς λῃσταίς, καὶ τὰ καρφία καὶ τὸν στέφανον τὸν ἀκάνθινον καὶ λϛ΄. σταλαματίαις αἷμαν, ὅπου ἐστάξεν ἀπὲ τὸ αἷμαν τοῦ Κυρίου καὶ ἔπεσεν εἰς ἕναν πανίν· τὸ ποῖον εἶναι πολλὰ μακρὺν, ἂ σᾶς ξηγηθῶ τὰ πράματα καταλεπτῶς, ἀμμὲ εὑρίσκεται γραμμένον πολλὰ πλατεῖα εἰς τὸ βιβλίον τὸ ἔγραψεν ὁ ἅγιος Κυριακὸς πῶς εὑρέθη ὁ τίμιος Σταυρὸς, καὶ πῶς ἀγρώνισεν τοῦ Χριστοῦ ἀπὲ τοὺς λῃστάδας, καὶ ποῖος τοῦ καλοῦ λῃστοῦ καὶ ποῖος τοῦ πονηροῦ.

Ἡ ποία ἁγία δέσποινα Ἑλένη θωρῶντα, ἐθαυμάστην καὶ ἐποῖκεν καὶ κτίσαν πολλαῖς ἐκκλησίαις εἰς τὴν Ἱερουσαλὴμ ἐπὶ ὀνόματος τοῦ θεοῦ τοῦ ζῶντος καὶ τοῦ ζωοποιοῦ σταυροῦ, ἀπὸ

γῆς, καὶ ἐτελείωσέν ταις, καὶ ἄλλαις ἀφῆκεν χρυσίον καὶ ἐτελείωσάν ταις.

Ἤξευρε καὶ τοῦτον, ὅτι ὅσον ἐπήγαινεν εἰς τὴν Ἱερουσαλὴμ ὥρισεν τοὺς ἄρχοντες, ὅτι ἀπὸ τὴν Ἱερουσαλὴμ εἰς τὴν Κωνσταντινούπολιν νὰ κτίσουν πύργους ν' ἀποσκεπάζῃ ἕνας τὸν ἄλλον καὶ νἄχῃ ἀνθρώπους ἀποὺ πάνω νὰ θωροῦν μέραν καὶ νύκταν, καὶ νᾶναι ὅτοιμοι ὅσο νὰ 'δοῦν λαμπρὸν ἢ καπνὸν εἰς τὴν Ἱερουσαλήμ, ὅτοιμα νὰ ποίσῃ πᾶσα εἷς, ὅτι τὸ νὰ βρεθῇ ὁ τίμιος σταυρὸς νὰ ὑψωθῇ νὰ γινῇ φανὸς ἀποὺ πύργον εἰς πύργον, νὰ μάθῃ ὁ βασιλεὺς τὴν ἡμέραν ὁποῦ ναὔρῃ ἡ μητέρα του τὸν τίμιον σταυρόν· καὶ ἤτζου ἐγίνετον μὲ τούτην τὴν στράταν. Τὴν ὥραν ὁποῦ ἡ μακαρία Ἑλένη ηὗρεν τὸν τίμιον σταυρόν, ἐκείνην τὴν ὥραν ἔμαθέν το ὁ υἱός της ὁ βασιλεύς· Τώρα νὰ στραφοῦμεν εἰς τὴν ἁγίαν Ἑλένην.

Καὶ ὄνταν ἡ ἁγία Ἑλένη ηὗρεν τὸν τίμιον σταυρὸν καὶ ἔμαθεν ἀπὲ τὸ θαῦμαν τοῦ σταυροῦ, ἐπῆρεν τὸ ὑποπόδιον ὅπου ἐκαρφῶσαν τοὺς ἁγίους πόδας, καὶ ἔσκισέν το εἰς γ΄. καὶ ἐποῖκεν δύο σανίδια ἀποὺ τὰ ποῖα εὔγαλεν ιϛ΄. γωνίαις, ἀποὺ πᾶσαν σανίδαν δύο κομμάτια, καὶ ἔμειναν δύο σταυροί. Τὸν δὲ σταυρὸν τοῦ Χριστοῦ ἀφῆκέν τον εἰς τὰ ἅγια τῶν ἁγίων μὲ πολὺν χρυσίον καὶ μαργαριτάριν, καὶ πέτραις. Τἀπίσα ἐξήλωσεν τοὺς σταυροὺς τῶν ληστῶν καὶ ἔβαλεν τὸ μακρύσιν τοῦ καλοῦ μὲ τὸ κοντόσιν τοῦ πονηροῦ, καὶ ἐποῖκεν ἕναν, τὸ ὁμοῖον καὶ τὸ μακρύσιν τοῦ πονηροῦ μὲ τὸ κοντῆσιν τοῦ καλοῦ, καὶ ἐποῖκεν τοὺς β΄. σταυρούς. Ἐπειδὴ ἐποῖκαν ἀντάμα τόσον καιρὸν χρόνους ξθ΄. δὲν ἦτον δίκαιον νὰ ρίψουν τοῦ πονηροῦ, ἐπῆρέν τους μετά της νὰ τοὺς ἰδῇ ὁ υἱός της τὸ μάκρος καὶ τὸ πλάτος, ὅτι ὅλοι ἦτον εἰς ἕναν ἀξαμόν· καὶ τοὺς β΄. σταυροὺς τοὺς μονοκόμματους καὶ τὰ ιϛ΄. σανίδια καὶ τὰ καρφία καὶ τὸν στέφανον ἔβαλέν τα εἰς τὸ σεντοῦκιν, μὲ τοὺς β΄. σταυροὺς εἰς τὸ κάτεργον, καὶ ἐνέβην ἡ ἁγία Ἑλένη καὶ

ἤρτεν εἰς τὴν Κύπρον, καὶ ὄνταν ἐπεσῶσαν καὶ ἐράξαν εἰς τὴν γῆν εὔγαλεν τὸ σεντοῦκιν μὲ τοὺς δύο σταυρούς, καὶ ἔφαν εἰς τὸ Βασιλοπόταμον· καὶ ὄνταν ἀπόφαν, ἔπεσεν ἀπὸ τὸν κοπον τῆς θαλάσσου καὶ ἐκοιμήθην, καὶ εἶδεν ἕναν ὅρομαν, ὅτι ἕνας παιδίος ἄνθρωπος εἶπέν της: κυρία μου Ἑλένη, ὡς γίον ἐποῖκες εἰς τὴν Ἱερουσαλὴμ καὶ ἔκτισες πολλοὺς ναούς, ἤτζου ποῖσε καὶ ὧδε, ὅτι ὁρισμὸς εἶναι εἰς τὴν αὐτὴν χώραν νὰ κατοικοῦσιν ἀνθρῶποι ἕως τῆς συντελείας, καὶ νὰ μὲν ξηλειφθῆ εἰς τοὺς αἰῶνας· καὶ ἔκτισε ναὸν εἰς τὸ ὄνομαν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ καὶ βάλε ἀπὸ τὰ τίμια ξύλα, ἀποὺ βαστᾶς. Καὶ ἐξύπνησεν καὶ ἐσηκώθην ἀπὲ τὸν ὕπνον καὶ ἐγύρεψεν τὸ σεντοῦκιν καὶ τοὺς σταυροὺς τοὺς μεγάλους· ὢ, τοῦ θαύματος! ὁ νεὶς μέγας ἐχάθην· καὶ ἔπεψεν γυρεύγοντά του, καὶ εὑρέθην εἰς τὸ βουνὶν τὸ λεγόμενον Ὀλυμπία, διὰ τὸν σταυρὸν τὸ Ὀλυμπάτο ὄνομα τοῦ καλοῦ ληστοῦ· καὶ ἔκτισε ναὸν τοῦ τιμίου Σταυροῦ καὶ ἔβαλεν εἰς τὴν καρδίαν τοῦ Σταυροῦ μερτικὸν ἀπὲ τὸ τίμιον ξύλον. Τἄπισα εἶδεν ἕναν στύλον λαμπρὸν ἀπὸ τὴν γῆν ὡς τὸν οὐρανὸν, καὶ ἐπῆγε νὰ τὸ ἰδῆ τὸ θαῦμα, καὶ ηὗρεν εἰς τὸ πλευρὸν τοῦ ποταμοῦ τὸν ἕναν μικρὸν σταυρὸν ἀπὸ τοὺς δύο καὶ φωνὴ ἀπὸ τὸν οὐρανὸν καὶ εἶπεν: Ἑλένη, ποῖσε νὰ κτίσῃς, ὡδὰ ἐκκλησίαν εἰς τὸν αὐτὸν τόπον λεγόμενον Τόγνην. Καὶ ἐποῖκε ναὸν τοῦ τιμίου Σταυροῦ καὶ ἕναν γυοφύριν νὰ περνοῦν οἱ ἀνθρῶποι, καὶ ἐσήμωσεν τὸν αὐτὸν σταυρὸν μετὰ ἀργύρου, χρυσίου καὶ μαργαριτάρου. Καὶ ἀπὸ τοτε ὁ Κύριος ἔπεψεν τὸν ὑετον, καὶ ἐγροικήθην εἰς πᾶσα τόπον· καὶ ἐγροίκησεν ὁ λαὸς καὶ ἐστράφησαν εἰς τὰς κατοικίας τους· τὸ ποῖον μετά τους ἦλθαν καὶ πολλοὶ πάροικοι, καὶ ἐκατοικῆσαν εἰς τὸ νησίν. Καὶ τελειόνοντα τὰ κτίσματα, ἐνέβην εἰς τὸ κάτεργον καὶ ἐπῆγεν εἰς τὴν Κωνσταντινούπολιν.

Ἀφὸν ἐπῆγεν ἡ ἁγία Ἑλένη εἰς τὴν Κωνσταντινούπολιν, καὶ ὁ λαὸς ἐπλήθυνεν εἰς τὸ νησίν, ἐννοιάστησαν τὸ ἔλα τῶν

ἀθέων Σαρακηνῶν, πῶς πολλαῖς φοραῖς αἰχμαλωτεῦσαν τὸ αὐτὸ νησὶν καὶ ἐχαλάσαν πολλαῖς χώραις καὶ κάστρη, καὶ αἰχμαλωτεῦσαν τὸν λαόν, καὶ ἐφοβοῦνταν καὶ ἦσαν ἐννοιασμένοι, λαλοῦντα: ὅποτε θελήσει ὁ Σουλτάνος νὰ μᾶς αἰχμαλωτεύσῃ, ἕτοιμον εἶναι. Τότε ἐσυνβουλεύθησαν νὰ τὸ ποίσουσι νῶσιν τοῦ βασιλέως νὰ πέψῃ λᾶς τῶν ἁρμάτων νὰ βλέπουν τὸν τόπον· τοὺς ποίους καλλίτερους ἀνθρώπους, ὁποῦ εὑρίσκονταν εἰς τὸ νησὶν ἐπέψαν τους εἰς τὸν βασιλέαν, ζητῶντα τῆς μεγάλης του ἁγιωσύνης νὰ πέψῃ ἀνθρώπους τῶν ἁρμάτων ἀπεζοὺς καὶ καβαλλάριδες διὰ τὴν βλέπησιν τοῦ τόπου κατάδικα τοὺς Σαρακηνούς. Ὁ βασιλεὺς γροικῶντα τὴν παρακάλεσίν τους, ἔπεψεν πολὺν λαὸν τῶν ἁρμάτων εἰς βλέπησιν τοῦ αὐτοῦ τόπου· καὶ τἄπισα ἐκάτζαν μεσόν τους καὶ εἶδαν τὴν ὁμάδαν τοῦ μηνίου τοῦ λαοῦ, καὶ ἐμοιράσαν τα μεσόν τους καὶ ἐβάλαν καπετάνον νὰ τὰ συμπιάζῃ, καὶ ἔπεσεν πασανοῦ τὸν χρόνον ἀπὸ τρία περπυρα χρυσᾶ ὁποῦ ἦσαν ὑπέρπυρα ϛʹ, ὁποῦ εὑρίσκουνταν εἰς τὴν Κύπρον, καὶ ἐκράκτην Στρατία διὰ τοὺς στρατιώταις· τὸ δουκάτον ἔξαζεν ὑπέρπυρα δʹ. τῆς Κύπρου. Ὁμοίως εκράζαν το καὶ καπνόν· καὶ ὁ νοικοκύρης ἂν εἶχεν υἱοὺς καὶ κόραις εἰς τὴν ταύλαν του καὶ εἰς τὸν καπνόν του, ἐκεῖνος μοναχὰ ἐπλέρωνεν, καὶ ἄνταν ἀχωρίστησαν ὁ υἱὸς καὶ ἡ κόρη νὰ ἁρμάστην, ἐπλήρωνεν πᾶσα εἷς τὸ μερτικόν του. Τότε ἔπεψε δοῦκα νὰ κρίνῃ τὸν λαόν, καὶ ἀπὸ τότε ἔπεψεν δούκαν, καὶ κατὰ καιρὸν ἄλλασσέν τον, καὶ οὕτως ἐπορεύγουνταν ὡς τὸν καιρὸν ὅπου ἔπεψεν δούκαν ὀνόματι Ἰσάκιον, ὁ ποῖος ἦτον πόρνος καὶ ἦτον εἰς τὴν ἐχρονίαν αʹ. Ἰησοῦ Χριστοῦ.

Ἀφότις ἐγίνετον ἡ ἀφεντικὴ διάβασις τοῦ λαοῦ τὸν ἐσυμπίασεν ἕνας δούκας ὀνόματι Τεπουλίου, καὶ ἐκάμαν οἱ Λατῖνοι ὅλην τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τοὺς Σαρακηνοὺς αἰχμαλωτεῦσαν καὶ ἀπομακρύσαν τους, καὶ πάντα ἐπεθυμοῦσαν τὴν γῆν τῆς επαγγελίας καὶ ποτὲ δὲν ἐμουλλῶσαν, ἀμμὲ πάντα

ἐπαρακάθουνταν καὶ ἐμποδίζαν τοὺς ἀνθρώπους καὶ ἐτζιγαρίζαν τοὺς Χριστιανοὺς, οἱ ποῖγοι εἶναι ὡς τὴν σήμερον ἀληθινά....(1).

Ὁ ποταμὸς ὁ χείμαρρος ἐκατέβασεν πολλὴν ἄμμον καὶ καταχερὸς ἐσκέπασεν την· καὶ λαλοῦν οἱ λᾶς, ὅτι τοῦτον τὸν λίθον ἔνι λίθος ἐλευθερίας καὶ ὀλίγον ἐμπορεῖ νὰ φελέσῃ· τοῦτον ἐγίνετον διὰ νὰ μηδὲν 'δῇ τὸ τέλος· ὅτι λαλεῖ ὁ φιλόσοφος, σκοπᾶτε τὰ τέλη τῶν πραγμάτων, καὶ ἀπὸ τὸ τέλος τὴν ἀρχήν· ἀμμὲ ἐχάθην, ὅτι σημεροψυχία· καὶ ὅνταν ἐξημέρωσεν ἡ δευτέρα, καὶ ἐξέβησαν οἱ φρέριδες τοῦ ὄχλου, ἔρχεψεν ἡ λύπη καὶ τὸ κλαῦμαν τόσον εἰς ταῖς γυναῖκας, ὡς γίον εἰς τοὺς ἀνθρώπους ἀποῦ ἐσκοτώθησαν, οἱ φρέριδες ἐλυπήθησαν πολλὰ πῶς εἰς ἴντα μόδον νὰ γλυτώσουν ἀπὲ τούτην τὴν ταραχήν.

Οἱ ἄνωθεν Τεμπλιῶταις ἦσαν πολλὰ ἄρχοντες καὶ εἶχαν μεσόν τους μεγάλην αἱρετικίαν καὶ πολλὰ βρωμισμένην τάξιν εἰς τὸ κρυφόν· καὶ ἄνταν ὁ θεὸς ἐβαρύθην τὸ κακὸν τὸ ἐπολεμοῦσαν, ἐφανέρωσέν το τοῦ πάπα μὲ τούτην τὴν τάξιν· δύο παιδίοι ἦσαν ἀπὸ μίαν χώραν καὶ ἀναγνώθησαν ἀντάμα, καὶ ἀγάπαν ὁ ἕνας τὸν ἄλλον ὡς γίον νᾶχαν εἶστεν ἀδελφία· καὶ διαβαίνοντα καιρὸς θεωρῶντα τὴν τάξιν τοὺς Τεμπλιώταις πολλὰ τιμημένην, καὶ πολλὰ τεκόνταν ἐδουλεῦγαν τάφφικία τους· καὶ ἦτον πλούσιος ὁ ἕνας παιδίος ἀπὲ τοὺς δύο, ἰπεθύμησεν νὰ γίνῃ ἀδελφὸς εἰς τὴν τάξιν τοὺς Τεμπλιώταις, καὶ ὁ μάστρος ἐπερίλαβέν τον, καὶ ὁ ἄλλος παιδίος ἔθελεν καὶ ἐκεῖνος νὰ πάρῃ τὸν ὄρδινον· καὶ ἄνταν ἐπῆγαν τὴν νύκταν οἱ ἀδελφοὶ νὰ τὸν χεροτονήσουν, ὁ σύντροφός του ἐμπῆκει κρυφὰ μεσόν τους εἰς τὴν σύνοδον, ὅτι κανένας δὲν ἐπῆρεν σκοπόν, ὅτι ὁ θεὸς ἐσφάλισε τὰ μάτια τους καὶ δὲν τὸν εἴδεσιν, γιὰ

(1) Ἐλλείπει περίοδός τις, καθὰ φαίνεται ἐκ τῆς διακοπτομένης διηγήσεως.

νὰ ἀποσκεπαστοῦσιν· καὶ εἶδεν πρᾶμαν τὸ ἐποῖκαν τοῦ συντρόφου του, καὶ ἐξηγήθην τα τοῦ πάπα: εἶδα τὸν παπᾶν ὁποῦ ἐθέλαν νὰ κουρέψουν τοὺτὲ νὰ τὸν χειροτονήσουν τὸν σύντροφόν μου, βαστάνοντα εἰς τὰ χέργια τους σταυρὸν χαρκὸν καὶ ὁ Ἰησοῦς Χριστὸς σταυρωμένος ἀπάνω εἰς τὸν σταυρόν· τότε ἐγονάτισεν, καὶ ἐπρουμουτίασεν τοῦ μεγάλου μαστόρου νὰ κρατήσῃ κρυφὰ πᾶσα πρᾶμαν τὸ νὰ τοῦ ποίσουσιν, καὶ τότες εἶπέν του ὁ παπᾶς: φαίνεταί σου τοῦτος ὁ σταυρωμένος ἔνι υἱὸς τοῦ θεοῦ, ὡς γίον λαλοῦν οἱ λᾶς; καὶ ἔχαν τάξιν, ὅτι ἂν εἴπῃ, ναὶ πιστεύω ἀλήθινὰ ὅτι τούτη εἶναι εἰκόνα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ τοῦ ζῶντος, τότες ἐλάλεν του ὁ παπᾶς· καὶ μεῖς ἤτζου πιστεύομεν, ἀμμὲ δοκιμάζομέν σε· καὶ τότε ἐχερίτονοῦσάν τον καὶ πέμπαν τον εἰς τὸν πόλεμον, καὶ μὲ τούτην τὴν λογὴν ἐσκοτώνετον· ἀμμὲ ὁ σύντροφός μου ὅταν τοὺς εἶδε, ναὶ πιστεύω ἀληθινὰ ὅτι τοῦτος εἶναι εἰκόνα τοῦ Κυρίου· ἀμμὲ εἰπέν τους, σεῖς ἴντα τὰ λαλεῖτε; ὅ,τι εἶναι πέτε μου καὶ νὰ μολογήσω· ὁ παπᾶς εἶπέν του, τοῦτος ἦτον ἕνας ψεματινὸς προφήτης. Γροικῶντα ἐκεῖνος ἐτζέπασέν το, καὶ ἐπιάσεν τὸν τίμιον σταυρὸν ἀπὸ τὸ χέριν του καὶ ἔρριψέν τον χαμαὶ καὶ ἐποῖκέν του πολὺν ὑβρισμόν. Τάπισα ἔγδυσάν τον ὁλόγυμνον, καὶ πλύναν τον ἀπὸ πάνω κάτω· τάπισα ἐφίλησάν τον εἰς τὴν κεφαλὴν εἰς τὴν κορφὴν καὶ εἰς τὸ στόμαν, καὶ εἰς τ' ἀφάλιν, καὶ εἰς τὸν κῶλον πᾶσα εἷς· τότε ὅσοι ἐθέλαν ἔχαν νὰ φτιάσουν μετά του. Καὶ ἐπρουμουτίασέν τους πᾶσα φορὰν ὁποῦ νὰ τὸν γυρεύγουν νὰ ἦναι ὅτοιμος καὶ μηδὲν ἀντισταθῇ τινός. Καὶ τότε ἔντυσάν τον τὰ βρωμισμένα ροῦχα τῆς βρωμισμένης τους τάξις καὶ ἔμπασάν τον ψηλά. Καὶ πισαυρίου ἐδῶκάν του ἀσῆμιν καὶ χρυσάφιν καὶ φορεχίαις πολλά, καὶ ἐγυρίσαν τον τὴν χώραν μὲ χαρὰν μεγάλην. Ἀμμὲ τὸ βιβλίον τῆς τάξης τους μὲ μεγάλην φρόνησιν καὶ τιμήν, ἔξω εἰς τοὺς ἀνθρώπους νὰ κρατοῦν τὴν ἀλήθειαν τῆς ἐκκλησίας, τὸ φᾶν τους, τὸ πγεῖν

τους, τὴν ἐντυμασίαν τους, καὶ μὴν ἔχουν σουπερπίαν, νὰ ἔχουν ἀπομονὴν ὅ,τι τοὺς ᾽πῆ ὁ πᾶσα εἷς, ἀπομονητικοί, καὶ πολλὰ ἄλλα καλὰ μαθητεμένοι, ἀμμὲ ᾽ς τὸ κρυφὸν εἶχαν τὸ ἐγροικήσετε ἄνωθεν.

Ὄνταν ὁ ἁγιώτατος πάπας ἐγροίκησεν τὰ αὐτὰ λογία, πολλὰ τὸ ἐπικράνθη: ποῖον ἔπαθα, Κύριέ μου; ὁ παντοδύναμος θεὸς ἔπεψεν τὸν υἱόν του τὸν ἠγαπημένον, μὲ τὸ θέλημάν του ἔδωκεν θάνατον καὶ ἐπάθεν καὶ ἐπῆγεν εἰς τοὺς οὐρανοὺς καὶ ἐκάθησεν ἐκ δεξιῶν τοῦ πατρὸς διὰ νὰ μᾶς λυτρώσῃ ἀπὸ τὰ χεργία τοῦ διαβόλου, καὶ ἔδωκέν μας νὰ φύγωμεν ἀποὺ πᾶσαν ἁμαρτίαν διὰ νὰ μὲν πᾶμεν εἰς ταῖς χεῖρας τοῦ διαβόλου, καὶ τοῦτος ὁ μέγας μάστρος, ὁ φίλος μου, νὰ κρατῇ τοῦτον τὸ κακόν; ὁρκίζω εἰς τὸν Κύριον, ὅτι μίαν ἡμέραν νὰ ξηλειφθοῦν ἀπὸ τὸν κόσμον. Καὶ ὡς καλὸς χριστιανὸς ὁποῦ ἦτον ὁ ἁγιώτατος πάπας, ὥρισεν τὸν παῖδα μὲ ἐντολὴν νὰ μὲν τὸ ᾽πῇ τινὸς ἄλλου· καὶ ἐθέλησεν ὁ πάπας νὰ μάθῃ περί του καθφά· ἔκραξεν ὀμπρός του τὸν μέγαν μάστρον τοῦ Τέμπλου, καὶ μέσα εἰς πολλὰ λογία εἶπεν του: πεθυμίαν ἐπεθύμησα νὰ ᾽δῶ πῶς χειροτονᾶτε τοὺς ἀδελφούς· διὰ τοῦτο ἔπαρε τοῦτον τὸν παιδίον, ἕναν τὸν ἔθελεν ὁ πάπας, ὀμπρός μου χειροτόνησ᾽ τον. Ὁ ποῖος εἶπεν του: τοῦτον δὲν ἠμπορεῖ νὰ γενῇ, αὐθέντη, ὅτι ἡ τάξη μας ὁρίζει νὰ μὲν χειροτονήσωμεν τινὰν φανερὰ ἀμμὲ κρυφὰ ἐκεῖ ὁποῦ εἶναι ὁ τόπος ὁ ἐπιτήδειος, μέσα εἰς τὸν τόπον τὸν ἁγιασμένον. Καὶ δὲν ἔδειξεν ὁ πάπας περί του φανὸν οὐδὲ ἄνγρισιν. Τάπισα ἐκάλεσεν τὸν μέγαν μάστρον τοῦ Σπιταλίου καὶ ὥρισέν τον νὰ χειροτονήσῃ τὸν αὐτὸν παιδίν, ἀδελφόν· ὁ ποῖος πάραυτα ἐχειροτόνησέ τον. Τότε ἐπῆρεν ὁ πάπας μεγάλην χαράν, ὅτι οἱ Σπιταλιῶταις ἔνι καλοὶ χριστιανοί, καὶ οἱ Τεμπλιῶταις εἶναι ὡς γίον τοὺς ἐπροδῶκαν. Τότες ἐρισεν τὸν συγκριτικόν του καὶ ἔγραψεν δύο γραφαῖς τοῦ πασανοῦ ἀφέντη εἰς τὸν κόσμον ὁποῦ εὑρίσκουνταν οἱ Τεμπλιῶ-

ταις σπιτία καὶ κρατήματα, καὶ ἔμαθεν τὸν ποῖον μακρὺν τόπον τὸν εἶχαν οἱ Τεμπλιῶταις καὶ ἦτον στράτα κοντὰ 'νοῦ χρονοῦ. Τὸ ἕναν χαρτὶν ἐλάλεν.

« Ἠγαπημένε μας υἱὲ χαίροις μετὰ εὐλογίας ἀρχιερατικῆς· ἤξευρε μὲ τοῦτον τὸ χαρτίν μας, τὸ ἀνοικτὸν διάβασ' το, καὶ τὸ βουλλωμένον ἔχε το εἰς φύλαξιν εἰς καλὸν τόπον καὶ μηδὲν ἦναι τινὰς ἀπότορμος νὰ τὸ ἀνοίξῃ ἢ νὰ τὸ διαβασῃ ὡς τὴν ἡμέραν τῆς Πεντηκοστῆς ὁποῦ μέλλει νὰ ἔλθῃ· καὶ ὄνταν πᾶτε εἰς τὴν ἐκκλησίαν, ὄνταν τελειώσῃ ἡ πρώτη λειτουργία πρὶν νὰ εὐγοῦν οἱ λᾶς ἀπὸ τὴν ἐκκλησίαν, ἄνοιξε τὸ χαρτὶν τὸ βουλλωμένον καὶ ὅ,τι λαλεῖ ποῖσε ὅτοιμα, ἀπάνω εἰς ἀφορεσμόν ». Διότι τὸ βουλλωμένον χαρτὶν ἐλάλεν. « Ὡς γίον μᾶς τὸ ἐπροβιάσαν ὀμπρός μας, ὅτι ἡ τάξις τοὺς Τεμπλιώταις εἶναι εἰς μέγαν κακὸν καὶ ἀρνοῦνται τὸν θεὸν καὶ ὅλους τοὺς ἁγίους, καὶ γιὰ τοῦτον ὁρίζομέν σε, ὅτι πρὶν νὰ φτάσῃ τὸ γιῶμαν νὰ ὁρίσῃς νὰ τοὺς σκοτώσουν ὅλους ὁποῦ εὑρίσκουνται εἰς τὸν τόπον σου, καὶ μὲν ἐλεμονηθῇς κανέναν. Καὶ εὔχομαί σου καὶ ἐξορκίζω σε κατὰ τοῦ θεοῦ καὶ ὅλα τους τὰ καλά, καὶ κλερονομίαις τους, ὅπου εὑρίσκουνται εἰς τὸν τόπον σου ἂς δοθοῦν εἰς τὴν ἐξουσίαν τοὺς Σπιταλιώταις. Καὶ ἀνίσως καὶ δὲν ποίσῃς τὸν ὁρισμόν μου καὶ ἀφήσῃς ζωντανὸν κανέναν, νὰ σοῦ ἔλθῃ ἡ ὀργὴ τοῦ θεοῦ ὡς γίον ἦλθεν εἰς τὸν Ἰούδαν ».

Καὶ ἐποῖκεν τὸν λόγον τοῦ πάπα εἰς ὅλην τὴν Κύπρον, καὶ ὅλους ἐσκότωσέν τους τὴν ἡμέραν τῆς Πεντηκοστῆς. Καί τινες λέγουσιν, ὅτι ὁ πάπας ἦτον ἀνκρικισμένος μὲ τὸν μάστρον τοῦ Τέμπλου, διότι ἐποῖκέν του ἀγανάκτησιν, καὶ τοῦτον ἦτον ἡ ἀφορμή, καὶ ὀργὴ τοῦ θεοῦ ἔπεσεν ἐπάνω του, διότι ἦτον πολλὰ ἀνγκρισμένος μετά τους, διὰ τὰς ἁμαρτίας τους· καὶ διὰ τοῦτο ἐκαταλύσαν τους ὅλους μίαν ἡμέραν, καὶ δὲν ἐγλύτωσεν κανένας, καὶ ἂν εἶχεν ἔχειν καθαροὺς ὁ θεός, ἐθέλεν τοὺς γλυτώσειν· καὶ τοῦτον ἦτο ὀργὴ τοῦ θεοῦ.

Καὶ ὄνταν ἐτελείωσεν ἡ λειτουργία τῆς Πεντηκοστῆς εἰς πᾶσα χώραν, ἀνοῖξαν τὸ χαρτὶν τὸ βουλλωμένον καὶ ἐγροικῆσαν ὅλοι τὸ ἐλάλεν· καὶ γροικῶντα τὸν ὁρισμὸν τοῦ πάπα, ὅτοιμα πρὶν τὸν γιῶμαν, ὅπου εὑρίσκουνταν ἐσκοτῶσάν τους ὅλους τοὺς Τεμπλιώταις, καὶ εἶτι εἴχασι ἐδόθησαν εἰς τὸ Σπιτάλιν.

Χρῆσι εἶναι νὰ ξηγηθοῦμεν τὴν ἀφορμὴν τοῦ καλοῦ Κοντεφρὲ ντὲ Πολίου, διὰ νὰ κατεβοῦμεν νὰ ξηγηθοῦμεν τοὺς ρηγάδες τοὺς λατίνους ὁποῦ ἐστέφθησαν εἰς τὴν Ἱερουσαλήμ. Τῇ πέμπτῃ αὐγούστου ͵απϛʹ Χριστοῦ ἐσκαλεύτην ἀπὸ τὴν Φραγγίαν ὁ Κουντεφρὲ ντὲ Πουλιοῦ, καὶ μὲ πολὺν φουσάτον, καὶ καλὰ συντροφιασμένος μὲ μεγάλους ἀφένταις, καὶ ἔφτασεν εἰς τὴν Συρίαν καὶ ἄρχεψεν καὶ ἐνίκαν τοὺς τόπους, τὸν ἰούνην ͵αϟθʹ Χριστοῦ, μὲ πλῆθος λαοῦ ἀπεζοὺς καὶ καβαλλάριδες, καὶ εἰς τὴν Ἱερουσαλὴμ εἶχεν Σαρακηνοὺς καὶ εἶχαν καὶ δʹ γίγαντες, καὶ οἱ χριστιανοὶ ἀποκλεῖσάν τους ὡς ταῖς ιεʹ. ἰουλίου ͵αϟθʹ, καὶ τὴν αὐτὴν ἡμέραν ἐνικῆσάν τους. Καὶ ἠμπορῶ νὰ 'πῶ, ὅτι ὁ ἁγιώτατος πάπας Ὀλβάνος καὶ ὁ ρὲ Φίλιππες ὁ ρήγας τῆς Φραγγίας, καὶ ὁ κῦρις Ἀλέξης ὁ Κουμνηνὸς βασιλεὺς τῆς Κωνσταντινόπολης, καὶ πολλοὶ ἄλλοι ἀφένταις ἐπῆραν τὴν ἁγίαν Γερουσαλήμ, καὶ οὗλοι ἀντάμα ἐχειροτονῆσαν ρήγαν τοῦ Γεροσολυμάτου τὸν ἄνωθεν Κοντεφρὲ ντὲ Πουλιοῦ, ὁ ποῖος δὲν ἔθελε νὰ στεφθῇ ρήγας, οὐδὲ ἐθέλησε νὰ βάλλῃ στέφανον εἰς τὴν κεφαλήν του, λαλῶντα· ὁ βασιλεὺς τῶν βασιλευόντα, ὁ γλυκὺς Ἰησοῦς ἐφόρησεν στέφανον ἀκάνθινον εἰς τὴν χαράν του τὴν ἡμέραν ὅταν τὸν ἐσταύρωσαν. Καὶ ἐπέθανεν εἰς τοὺς ͵αρʹ. Χριστοῦ καὶ ἔθαψάν τον εἰς τὸ Καβαλκάριον ὄρος. Μετέπειτα ἐστέφθην ὁ Μπαντουνῆν ὁ ἀδελφός του, καὶ ἐπέθανεν εἰς τὴν ἐχρονίαν ͵αριηʹ. Χριστοῦ. Τάπισα ἐστέφθην ὁ Μπαντουνῆν Λαγγκιλίου, καὶ ἐπέθανεν ͵αρλϛʹ. Χριστοῦ. Τάπισα ἐστέφθην ὁ Φουκᾶς ὁ γαβρὸς αὐτοῦ, ὁ ἄντρας τῆς κόρης του, καὶ ἐπέθανεν εἰς

τὴν ἐχρονίαν ͵αρμγ΄. Τἄπισα ἐστέφθην ὁ Μπαντουνῆν ὁ Γερὸν ὁ υἱὸς τοῦ Φουκᾶ καὶ ἐπέθανεν ͵αρξγ΄. Χριστοῦ. Τἄπισα ἐστέφθην ὁ Ἀμέρην ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἐπέθανεν ͵αροδ΄. Τἄπισα ἐστέφθην ὁ Παντουῆν ὁ Κελεφὸς καὶ ἐπέθανεν ͵αρπα΄. Τἄπισα ἐστέφθην ὁ Παντουῆν ὁ παιδίος, ὁ υἱὸς τῆς κουντέσσας τοῦ Γιάφα ὀνόματι Σιβύλλα, κόρη τοῦ ρὲ Ἀμαρὴν καὶ ἀδελφὴ τοῦ ρὲ Παντουῆν τοῦ Κελεφοῦ, καὶ συμβία τοῦ μαρκὶς Γκιλιάμε Τελοῦνγγε Ἐπεέ· καὶ ἀπέθανεν ὁ αὐτὸς Παντουῆν ͵αρπϛ΄. Τἄπισα ἐστέφθην ὁ ρὲ Γκῆ ρήγας Ἱεροσολύμων, ὁ ποῖος ἁρμάστην μὲ τὴν κυρὰν Σιμβίλλαν τὴν μητέραν τοῦ ρὲ Μπαντουῆν, ἡ ποία ἐστέφθην ρήγαινα Ἱεροσολύμων καὶ ἁρμάστην μὲ τὸν αὐτὸν ρὲ Γκῆν τὲ Λουζουνίαν εἰς τὴν ἐχρονίαν ͵αρϟ΄. καὶ μὲ τὴν βοήθειαν τοῦ θεοῦ καὶ τῶν Γενουβίσων ἐπῆρεν τὸ ρηγάτον τῆς Κύπρου, καὶ ἔδωκέν τους τὴν ἐλευθερίαν ἐκείνους καὶ τῶν παιδιῶν τους ὅτι ἐδούλευσάν του μὲ τὰ κορμία τους καὶ μὲ τὸ δικόν τους. Εἰς τὴν αὐτὴν ἐχρονίαν ἦρτεν ὁ ρήγας τῆς Ἐκλετέρας ὀνόματι Ἀντζάρ, καὶ ὁ ρήγας τῆς Φράντζας ὁ ρὲ Φίλιππος, καὶ ἦλθεν ὁ μάστρος τοῦ Τέμπλου καὶ ἐζήτησέν τους γιὰ τὴν ἀγάπην τοῦ θεοῦ νὰ ἐβγάλῃ τὴν Κύπρον ἀπὲ τὰ χέργιά τους· ὁ ποῖος ἐπούλησέν την τοῦ ρὲ Οὔνγκε τοῦ ρηγὸς τῶν Ἱερουσολύμων διὰ ρ΄. χιλιάδες δουκάτα χρυσᾶ, καὶ ἐδανείστην ἀπὸ τοὺς Γενουβίσους πολλὰ καὶ ἀγόρασέν την κατὰ τὰ στιχίματα τοὺς Τεμπλιώταις. Τοῦτον ἐγίνην εἰς τὴν ἐχρονίαν ͵αρϟβ΄. Χριστοῦ· καὶ τοῦτος ἦν ὁ πρῶτος ρήγας Ἱεροσολύμων καὶ Κύπρου, καὶ ἀπέθανεν εἰς τοὺς ͵ασε΄. Καὶ ὄντα τὴν ἐγόρασεν ὁ αὐτὸς ρὲ Οὔνγκε τὴν Κύπρον ἀπὲ τοὺς Τεμπλιώταις καὶ τοὺς Λαγκουβάρδους, μανθάνοντα τὴν ἀγανάκτησιν ὅπου τοὺς ἐποῖκαν καὶ τὸν σφαμὸν εἰς τὴν χώραν, ἦτον εἰς μεγάλην ἐννοίαν καὶ ἐννοιάζετον πῶς νὰ ποίσῃ νὰ μὲν ἔχουν κακὸν εἰς τὴν Κύπρον, ὅτι ὅλος ὁ τόπος ἦτον γεμάτος Ρωμαῖοι, καὶ ἐλάλεν εἰς τὸν ἐμαυτόν του· ὅποτε θελήσουν νὰ ρεβελιάσουν κατὰ μέναν, ἠμποροῦν νὰ τὸ

ποίσουν καὶ θέλουν ἔχειν βοήθειαν τὸν βασιλέαν τῆς Κωνσταντινόπολης, καὶ ἐμποροῦν μὲ δύναμιν νὰ σηκώσουν τὸ ῥηγάτον ἀπὲ τὰς χεῖράς μου. Ἐννοιάστην νὰ δηθῆ μὲ τὸν Σουλτάνον τοῦ Καρίου, καὶ ἔπεψεν μαντατοφόρους παρακαλῶντά τον, ὅτι πάντα ἀποὺ τὸν θεὸν εἶναι, ὅτι οἱ λᾶς ν' ἀγαποῦν τοὺς γειτόνους τους, καὶ μὲ τὴν χάριν τοῦ θεοῦ εἴμεστεν γειτόνοι, παρακαλῶ σε νὰ ποίσωμεν δῆμαν μεσόν μας, καὶ προυμουτιάζω σου, ὅτι πάντα νὰ ἦμαι φίλος σου σπλαγχνικός, καὶ νὰ κρατῶ τοὺς φίλους σου διὰ ἀγαπημένους μου φίλους καὶ τοὺς ἐχθροὺς σου ὡς θανατήσιμούς μου ἐχθρούς· καὶ ζητῶ σου, ὅτι ἀνισῶς καὶ ὁ βασιλεὺς τῶν Ρωμαίων νὰ ποίσῃ ἀρμάδαν νὰ ἔλθῃ ἀπάνω μου, νὰ μοῦ δώσῃς βοήθειαν καὶ δύναμιν, καὶ θέλω εἶστεν ὑπόδουλός σου. Καὶ ἀνισῶς καὶ πέψῃ ἀρμάδαν κατάδικά σου νὰ ἔχῃς νῶσιν νὰ βλέπεσαι.

Ὁ σουλτάνος ἀπολογήθην του καὶ μήνυσέν του μὲ τοὺς δύο του μαντατοφόρους: Υἱέ μου, ἀπὲ τὸ μοῦ μηνᾷς ὅτι εἶσαι γεῖτός μου καὶ νὰ ἔχωμεν ἀγάπην κατὰ τὸν ὁρισμὸν τοῦ θεοῦ καὶ νὰ ἔχωμεν δῆμαν μεσόν μας, τζετιάζω το· καὶ τὸ εἶσαι εἰς ὄρεξιν νὰ κρατῆς τοὺς φίλους μου φίλους σου, καὶ τοὺς ἐχθροὺς μου ὡς ἐχθρούς σου, τὸ ὁμοῖον θέλω ποίσειν καὶ 'γὼ μετά σου· ἀπὲ τὸ θέλεις νὰ ἦσαι ὑποτακτικός μου, δὲν εἶναι ἀπὲ τὸ θέλημά σου, ἀμμὲ εἶναι ἀπὸ θεοῦ θέλημαν, ὅπου μᾶς ἔδωκεν τὴν ἐξουσίαν· καὶ εἴξευρε, οὐδὲ σού, οὐδὲ ἐκεῖνοι ὁποῦ νὰ γεννηθοῦν ἀποὺ ξαυτόν σου νὰ μὲν ἔχετε ἀγανάκτησιν ἀποὺ ξαυτῆς μου, οὐδὲ ἀποὺ νἄρτουν ὀπίσω μου, χωρὶς νὰ ἦναι ἀπὸ ξαυτόν σας· ἀπὲ τὸ θέλεις νὰ ἔχῃς ἀπὸ ξαυτῆς μου βοήθειαν καὶ δύναμιν ἂν ἔρτῃ ὁ βασιλεὺς τῆς Κωνσταντινόπολης ἀπάνω σου, ἀδύνατον εἶναι, ὅτι εἴμεστεν ὡρισμένοι νὰ βουθοῦμεν τοὺς πιστοὺς τοῦ θεοῦ καὶ τοῦ μεγάλου προφήτη τοῦ Μαχομέτη, ὄχι τοὺς ἀπίστους· ἀμμὲ ἂν θέλῃς νὰ 'μολογήσῃς ἕναν μόνον θεὸν καὶ τὸν Μαχομέτην τὸν προφήτην, καὶ νὰ ψηλώσῃς τὸ δακτύλιν

σου, τότε θέλω σὲ κρατήσειν διὰ ἀκριβόν μου φίλον καὶ ἀδελφόν, καὶ θέλω ποίσειν στερεὸν δῆμαν μετά σου, καὶ θέλω εἶστεν κατάδικος τοὺς ἐχθρούς σου.

Ἀκούσας ὁ ρὲ Οὔγκε ἐταράχθην πολλὰ καὶ εἶπεν, ὁ θεὸς νὰ μὲ σκεπάσῃ, ὅτι ἂν μοῦ δῶκεν ὅλην του τὴν ἀφεντίαν, δὲν θέλω ἀρνηθῆν τὴν ἁγίαν Τριάδαν· κάλλιο νὰ ἦμαι ὑπόδουλος τοῦ βασιλέως, παρὰ νὰ ἀρνηθῶ τὴν πίστιν τοῦ θεοῦ μου· καὶ πιστεύω πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ ἐκεῖνος νὰ μοῦ βουθήσῃ καὶ νὰ μὲ ἀποβγάλῃ ἀποὺ πᾶσα πειρασμόν.

Πάλιν ἐμήνυσεν τοῦ σουλτάνου ζητῶντα βουλὴν ἀπὸ ξαυτῆς του πῶς νὰ μπορήσῃ ν' ἀφεντεύσῃ τὸν λαόν. Ὁ σουλτάνος ἐμήνυσέν του: Υἱέ μου δός τα ὅλα νὰ κάμῃς οὖλα· πέψε φέρε ἀπὸ τοὺς φίλους σου καὶ ἀπὲ τὴν πίστιν σου καλοὺς καβαλλάρους ψουμάτους καὶ ποῖσε ἀβιτζιάλιδες, καὶ μοίρασε τὸ ρηγάτον σου εἰς αὐτόν σου καὶ εἰς αὐτόν τους, καὶ ποῖσέ τους κληρονομίαις ὅπου τὰ τοὺς ἀναπαμείψῃ· θέλουν ἔχει καρδίαν νὰ δηγοῦν τὸ ρηγάτον σου, καὶ θέλουν εἶστεν ἀναπαμένοι, καὶ ἐσοὺ ἀναπαμένος, ὅτι δὲν θέλου σὲ περιβαρύνει νὰ τοὺς πλερώνῃς τοὺς κόπους τους, καὶ θέλεις εἶστεν ἀπότορμος νὰ τοὺς τάσσῃς καὶ τὰ τοὺς ὁρίζῃς νὰ πηγαίνουν εἰς ταῖς χρῆσές σου χωρὶς νὰ ἔχῃς ἐννοίαν ἴντα νὰ τοὺς πλερώσῃς· κάλλιον νὰ δώσῃς δόσια αὐτάρκετα καὶ νὰ φέρῃς μεγάλους ἀνθρώπους, παρὰ νὰ δώσῃς ὀλίγα καὶ νὰ χάσῃς τὸ δελοιπόν. Καὶ πέψε φρενίμους μαντατοφό . . . . (1)

. . . . βρίζουν κατὰ πρόσωπα τοὺς καβαλλάριδες τοὺς ψουμάτους καὶ ἂν ἓν καὶ ὁ ρήγας σύρῃ μαρτυρίαν νὰ μὲν τοῦ πιστέψουν χωρὶς νὰ τὸ μολογήσῃ ὁ ψουμάτος μὲ τὸ δικόν του θέλημαν· καὶ ἂν γενῇ μάλλωμαν μεσὸν ψουμάτου καὶ ἄλλοε ἀπὲ τὸν λαὸν τὸν πτωχόν, καὶ ἂν σηκώσῃ τὸ χέριν του κατὰ

(1) Ἐλλείπουσι δύο σελίδες τοῦ χειρογράφου.

πρόσωπα τοῦ ψουμάτου, νὰ χάνη τὸ χέριν τὸ δεξιόν. Τοῦτον ἐγίνετον γιανὰ νὰ καταλύσουν τὴν σουπερπίαν τοὺς Ῥωμαίους νὰ μὲν ρεβελιάσουν, νὰ τοὺς ποίσουν ὃ γίον ἐποῖκαν τοὺς Τεμπλιώταις. Καὶ ἐποῖκαν ἀσίζας εἰς τὸ διάφορός τους, καὶ ἐποῖκαν, ὅτι ἄντα θέλη νὰ βάλη ὁ ρήγας τὸν στέφανον εἰς τὴν ἐκκλησίαν, νὰ μόση ἀπάνω εἰς τὸ Εὐαγγέλιον νὰ κρατήση καὶ νὰ στερεώση τὰς ἀσίζας καὶ ὅλα τὰ καλὰ συνήθεια τοῦ αὐτοῦ ρηγάτου καὶ νὰ στερεώση τὰ προβιλήζια τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας.

Μέσα εἰς τοῦτον δὲν εἶχαν λαὸν οἱ Λατῖνοι οὐδὲ ἀρχιπίσκοπους, οὐδὲ λογάδες νὰ ὑμνολογοῦν τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν· ἐπέψαν οἱ ρηγάδες ὁ ἕνας ὀπίσω τοῦ ἄλλου εἰς τὸν ἁγιώτατον πάπαν λαλῶντα νὰ πέψη πίσκοπον, μητροπολίταις καὶ παπάδες. Ἀπολογήθην τους: μετὰ χαρᾶς νὰ τὸ ποίσω, μόνον νὰ μᾶς δείξετε ἀπόθεν νἄχουν τὴν ζωήν τους, ὅτι δὲν εἶναι δίκαιον νὰ πέψω ἀρχιερέαν καὶ δασκάλους τῆς θεολογίας καὶ διακόνους καὶ νὰ μὲν ἔχουν ζωήν· καὶ ὁ ρήγας ὁποῦ νὰ βρίσκεται κατὰ τὴν ἡμέραν μηδὲν γροικήσει τὴν βουλὴν τοὺς ἄρχοντές του κατάδικά τους. Καὶ ὁ ρήγας ἐμήνυσέν τους νὰ τοὺς ποίση μηνίον ἀκανετόν τους διὰ τὴν ζωήν τους. Ὁ πάπας δὲν τὸ θέλησεν, ἀμμὲ ἐμήνυσέν του· παιδίν μου γλυκύν, ἐκεῖνοι ὁποῦ μηνιάζονται εἰς τὸ θέλημαν εἶναι ἐκείνους ὁποῦ τοὺς μηνιάζουσιν, καὶ ἄνταν θέλη νὰ τὸν ἀπολογιάση, κρατεῖ τὸ ψουμίν του, καὶ ὁ δουλευτὴς θέλει στεντιάσειν καὶ θέλειν κακοπαθήσειν· ἀμμὲ ἂν τοὺς πεθυμᾷς, ποῖσέ τους τὴν ζωήν τους ἀσάλευτην ὅλην τους τὴν ζωήν, καὶ κανένας ὀπίσω σου νὰ μὲν ἔχη ἐξουσίαν νὰ τοὺς τὸ σηκώση, καὶ τότε νὰ σοῦ πέψω ὅσους ἔχεις χρῆσιν διὰ νὰ δοξάζεται τὸ ὄνομαν τοῦ θεοῦ καὶ τῆς ἁγίας Τριάδος εἰς τὸν τόπον σου, κατὰ τὴν τάξιν τὴν δικήν μου, καὶ ἀπὲ τοὺς ἀρχιέρεις λατίνων νὰ χειροτονοῦνται διάκονοι ἱερεῖς καὶ οἱ λοιποὶ τῆς ἐκκλησίας. Καὶ ὡρδινίασεν δέκα

τζανούνιδες εἰς πᾶσα μίαν ἐπισκοπὴν μὲ τοιοῦτον, νὰ πλερώνουνται ἀπὸ τὸ δέκατον τῆς ἐκκλησίας· καὶ εἶναι ὡς τὴν σήμερον. Τἄπισα ἐκτίσαν οἱ ρηγάδες καὶ οἱ ἄρχοντες νεῖς ὀπίσω τοῦ ἄλλου ἐκκλησιαις καὶ πολλαῖς μοναῖς, καὶ ἐποῖκαν ταῖς ἀσίζαις καὶ ἐποῖκάν τους νὰ ἔχουν 'ς τὴν ζωήν τους· καὶ τὰ χωρία τὰ εἶχαν ἡ ἐπισκοπαῖς τῶν Ρωμαίων, ἔδωκάν τα τῶν Λατίνων. Τότε ὁ βασιλεὺς θωρῶντα τὴν στενὴν ζωὴν τοὺς ἀρχιερεῖς τῆς Κύπρου, ὅτι δὲν εἶχαν δέκατον τῆς ἐκκλησίας ἐσυγκατέβησαν καὶ ἔδωκάν τους χωργία καὶ ἄλλα εἰσοδέματα τοῦ πασανοῦ κατὰ τοῦ ἐφάνην. Καὶ τοιούτους ἐσηκῶσάν τα οἱ ρηγάδες ἀπὲ τοὺς ἐπισκόπους διὰ ἀφορμαῖς, καὶ ὡς τὴν σήμερον ἔχουν τα καὶ χαρίζουν τα τοὺς καβαλλάριδες. Τὰ ἐμεῖναν εἰς τὸ χέριν τοὺς ἐπισκόπους τοὺς Ρωμαίους ἐσηκῶσάν τα καὶ ἔδωκάν τα τοὺς Λατίνους.

Χρῆσι εἶναι τὰ φουμίσωμεν τὴν ἁγίαν νῆσον, καὶ ὅσον τὴν φουμίσω δὲν θέλω πεῖν ψέματα. Εἰς τὸν αὐτὸν τόπον εἶχεν ἀρχιεπισκόπους ιδ'. καὶ μὲ τὴν χάριν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἦσαν ἀρχιεπίσκοποι, τουτέστιν· ἅγιος Βαρνάβας ἀπόστολος Χριστοῦ, ὁ ἅγιος Ἐπιφάνιος, ἅγιος Σέργιος, Δομέτιος, Πορφύριος, Πλούταρχος, ἕτερος Βαρνάβας, Θεόδωρος, Βασίλειος, Ἀρκάδιος, Θεόδωρος, Ἰωάννης, ἕτερος Βαρνάβας, Σωφρόνιος, Ησαΐας, Ἱλαρίωνος, καὶ Νεόφυτος, Γρηγόριος, Εὐθύμιος, Ἀλέξιος, Νεῖλος, Γερμανὸς, ἀρχιεπίσκοποι Κύπρου· ἀρχιεπίσκοποι Δαμασίας, Ἡρακλείδιον, Μνάσων καὶ Ρόδον, Μακεδόνιος, Δαμασίας. Λάζαρον τὸν ἁγιώτατον ἐπισκόπον Κιττιέων ἀνέστησεν ὁ κύριος ἐκ νεκρῶν. Τύχωνος τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀμαθούντων, τουτέστιν τῶν Λευκάρων. Ζήνωνος τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρινέων, Κιλισίου, Φυλαρίου τοῦ ἁγιωτάτου ἐπισκόπου Πάφου. Νικολάου καὶ Ἀρκαδίου τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀρσενόης. Ἀξιβίου τοῦ μακαριωτάτου ἐπισκόπου Σολεικς. Ευλαλίου τοῦ ἁγιωτάτου ἐπισκόπου Λαπίθου. Θεοδότου

ἐπισκόπου Κιρινίας. Δημητριανοῦ, Πάππου, Ἀθανασίου, Εὐσταθίου, Νικήτα ἐπισκόπου Κυθηρέων. Σπυρίδων ἐπισκόπου Τριμυθούντων. Φίλωνος, Συνεσίου, καὶ Σωσικράτους ἐπισκόπου Καρπασέων. Τριφυλλίου τοῦ Φωτολαμποῦς ἐπισκόπου Λευκοσίας· καὶ Τυχικοῦ τοῦ ἁγιωτάτου ἐπισκόπου νέας πόλεως Λεμεσοῦ.

Ἔδειξά σας τὰς ιδʹ. ἐπισκοπαῖς, νὰ σᾶς δείξω καὶ πόσα σώματα τῶν ἁγίων εὑρέθησαν. Ὅταν οἱ Σαρακηνοὶ ἐπῆραν τὴν γῆν τῆς ἐπαγγελίας, τότε εὐγῆκαν οἱ πτωχοὶ οἱ χριστιανοὶ ἀποῦ ἐγλυτῶσαν καὶ ἐπῆγαν ὅπου ηὗραν καταφύγιν· ἦσαν ἀρχιεπισκόποι, ἐπισκόποι, ἱερεῖς καὶ λαϊκοί, καὶ ἐπῆγαν ὅπου φτάσαν· καὶ ἦρταν καὶ εἰς τὴν περίφημον Κύπρον μία συντροφία, ὅπου ἦσαν τʹ. ὀνομάτοι, καὶ γροικῶντα, ὅτι Ἕλληνες ἐφεντεῦγαν τὸν τόπον, διὰ τὸν φόβον ἐπῆγαν εἰς τὸ ἕναν μέρος καὶ εἰς τὸ ἄλλον καὶ ἐσκάψαν τὴν γῆν καὶ ἐμπῆκαν μέσα, καὶ ἐπροσεύχουνταν τῷ θεῷ, καὶ ἦσαν δύο τρεῖς ἀντάμα, καὶ εἶχαν τινὰν δουλευτὴν ἀποῦ τοὺς ἐδούλευγεν τὸ ἐχρειάζουνταν διὰ τὴν ζωήν τους· καὶ ἐποθάναν εἰς τὸν αὐτὸν νησίν, καὶ πολλοὶ ἀξ αὐτῶν τους ἐφανερώθησαν δι' ἀγγέλου, ἄλλοι διὰ τὰ θαυμαστὰ θαύματα· μεσὸν τοὺς ποίους εἶδα καὶ ἔμαθα πολλὰ κοιμητήρια, καὶ πολομοῦν θαυμαστὰ θαύματα, καὶ εἶναι χωριστὰ λείψανα καὶ κοιμητήρια τοὺς ἀρχιερεῖς καὶ ἐπισκόπους τοὺς ἄνωθεν λαλημένους. Εὑρίσκεται εἰς τὴν Περιστερόναν τῆς Μεσαρίας ὁ ἅγιος Ἀναστάσιος ὁ θαυματουργός, εἰς τὴν Ὀρμετίαν ὁ ἅγιος Κωνσταντῖνος στρατιώτης, εἰς τὴν Σύνταν ὁ ἅγιος Θεράπων, εἰς τὴν Ποταμίαν ὁ ἅγιος Σωζόμενος, πρὸς τοῦ Κάζα Πιφάνη ὁ ἅγιος Πίκτητος, εἰς τὸ κάστρον τοῦ ἁγίου Γλαρίου ὁ ἅγιος Ἱλαρίων νέος, πρὸς τὴν Κυθρίαν ὁ ἅγιος Ἐπιφάνιος, τὸ κοιμητήριν του εἶναι εἰς μοναξίαν, καὶ οἱ τόποι ἐρημώθησαν, ἐπῆραν τὴν ἁγίαν του κάραν καὶ τὰ εἰκονίσματα, καὶ ἔβαλάν τα εἰς φύλαξιν εἰς τὸν Κουτζουβέντην. Εἰς τὴν Κορφίνουν ὁ ἅγιος Ἡράκλειος ἐπίσκοπος, ὁ ἅγιος Λαυρέντιος,

ὁ ἅγιος Ἐλπίδιος, ὁ ἅγιος Χριστόφορος, ὁ ἅγιος Ὀρέστης, καὶ ὁ ἅγιος Δημητριανός, ὁποῦ πολομοῦν ἄπειρα θαύματα. Εἰς τὸ Λευκόνικον ὁ ἅγιος Εὐφημιανός, εἰς τὴν Περιστερόναν τοῦ κούντη Τετζάφ ὁ ἅγιος Βαρνάβας καὶ ὁ ἅγιος Ἱλαρίων, εἰς τὴν Αʹγεὰν ὁ ἅγιος Ἡλιόφωτος, ἅγιος Αὐξουθένιος, ὁ ἅγιος Παμφοδίτης, ὁ ἅγιος Παμμέγιστος, καὶ ὁ ἅγιος Παφνούτιος, ὁ ἅγιος Κουρνούτας· πρὸς τὴν Ζωτίαν ὁ ἅγιος Εἰρηνικός, καὶ εἰς τὸ Κιλάνιν ἄλλος, ὁ ἅγιος Θεράπων, καὶ εἰς τοῦ Μόρφου ὁ ἅγιος Θεοδόσιος, καὶ ὁ ἅγιος Πολέμιος· εἰς τὴν Βάσαν ὁ ἅγιος Βαρνάβας μοναχὸς πρὸς τὴν Ἀλεκτόραν· εἰς ἕναν τόπον λεγόμενον εἰς τὴν Γλυφίαν τὸ κοιμητήριν τοῦ ἁγίου Κασιανοῦ καὶ τὸ σῶμάν του καὶ ἑορτάζουν τον τῇ ιϛʹ. σεπτεβρίου. Ἕτερος ἅγιος Κασιανὸς εἰς τὴν Αὐδίμουν καὶ ἑορτάζουν τον τὴν ὕστερην φεβρουάρη, καὶ ἑορτάζουν τον καὶ τὴν δʹ. δικεβρίου, καὶ τὸ κοιμητήριν του εἰς τὴν Ἀξύλου. Ὁ ἅγιος Ἀλέξανδρος, ὁ ἅγιος Χαρέτης, καὶ ἕτερος Ἐπιφάνιος εἰς τὸν Κούρδακαν. Ὁ ἅγιος Πήγων καὶ ὁ ἅγιος Χριστόφορος εἰς τὴν Ἀρόδαν· ὁ ἅγιος Καλάντιος, ὁ ἅγιος Ἀγάπιος, καὶ ὁ ἅγιος Βαρλὰμ εἰς τὴν Ταμασίαν· εἰς τὸ Πέρα ὁ ἅγιος Βασίλειος ἐπίσκοπος καὶ ὁ ἅγιος Δημητριανὸς ἐπίσκοπος. Ἔχει πολλοὺς ἄλλους ὁποῦ οὐδὲν ἐφανερώθησαν, τοὺς ποίους καὶ τοὺς ἄνωθεν νὰ παρακαλοῦμεν νὰ παρακαλέσουν κύριον τὸν θεὸν νὰ ἀποβγάλῃ τὴν αὐτὴν νῆσον ἀπὸ τοὺς ἄθεους Ἀγαρηνούς.

Ἀκομὴ εὑρίσκουνται εἰς τὸ αὐτὸν νησὶν ἅγιοι περαστικοὶ καὶ ἄλλοι Κυπριῶταις οἱ ποῖγοι εἶναι: πρῶτος ὁ Σαντζουάνης Τεμουφόρτε εἰς τὴν Λευκοσίαν εἰς τὸ Πιάλεβε, ἀφέντης Φραντζέτζης, ὁ ποῖος πολομᾷ ἄξια θαύματα εἰς τοὺς ἀστενεῖς, καὶ τῆς πύρεξες· ὁμοίως ὁ ἅγιος Μάμας ἀπὲ τὴν Ἀλλαγίαν, καὶ εἰς τὴν ζωὴν του ἐπιάνεν τοὺς λέοντας καὶ ἐγάλευέν τους, καὶ ἐπολόμαν τυρὶν καὶ ἐταγίζεν τοὺς πτωχούς· καὶ ἐτρέξαν τον οἱ Τοῦρκοι, καὶ ἐσκοντιλῆσεν, καὶ ἐτζακίσθην τὸ γαλευτῆριν

καὶ ἐχενώθην τὸ γάλαν, καὶ φαίνεται ὁ τόπος τοῦ γαλάτου εἰς τὸ χωρίον τῆς Ἀλλαγίας ἕως τὴν σήμερον· καὶ ἐμαρτύρησεν, καὶ οἱ γονεῖς του ἐβάλαν τον εἰς κιβοῦριν καὶ διὰ χάριτος κυρίου ἐπέσωσεν εἰς τὴν Κύπρον, εἰς τὸν γιαλὸν τῆς Θεμόρφου, καὶ ἐπικαλύφθην ἑνοῦ καλοῦ ἀνθρώπου νὰ πάρῃ τὸ ζευγάριν του καὶ τοὺς δ' του υἱούς· καὶ ἐπῆγεν, καὶ ἐδῆσάν το μὲ τὸ σχοινὶν καὶ ἐπῆράν τον ὡς γίον ἕναν μικρὸν πρᾶμαν, τὸ ποῖον ἦτον πολλὰ βαρετὸν, ὅτι πολλοὶ ἄνθρωποι ἐθέλαν διαβάσειν μέγαν κόπον νὰ τὸ σύρουν· καὶ ὄνταν ἦλθεν εἰς τὸν τόπον ὁποῦ εὑρίσκεται σήμερον, ἐστάθηκεν καὶ δὲν ἠμπόρησεν τινὰς νὰ τὸ σαλέψῃ· καὶ ἔκτισαν ναὸν καὶ βρύει μῦρος, καὶ πολομᾷ μεγάλα θαύματα εἰς οὗλον τὸν κόσμον, πληγαῖς ἀγιάτρευταις, καὶ ἀποῦ τὸν ζωγραφίζουν βρύει ἰάματα εἰς τὴν Λευκοσίαν, εἰς τὴν Λεμεσὸν, εἰς τὴν Ἀμμόχουστον, εἰς τὴν Κλαυδίαν· ἂν ἦτον νὰ γράψω ταῖς γιάσες του ὡς τοῦ νἄζουν δὲν ἐφτάνα. Ἀκόμη εὑρίσκεται εἰς τὴν Ἀκροτίκην εἰς τὴν κώμην τοῦ ἁγίου Ἀνδρονίκου τῆς Κανακαρίας, ἔχει ὀλίγον καιρὸν καὶ εὑρέθην δι' ἀποκαλύψεως θεοῦ, τὴν λέγουν ἁγίαν Φωτεινὴν, καὶ ὁ τάφος της εἶναι κάτω τῆς γῆς, ἔχει βῆμαν καὶ ἔχει νερὸν ἁγίασμαν, καὶ ἔχει πολὺν βάθος νερὸν, καὶ εἰς τὸ γύρισμαν τοῦ φενγκαρίου πήσει ἀπάνω τὸ νερὸν, καθὼς πήσει τὸ πάγος, εἰς μίαν τζίπαν, καὶ σηκόνουν το ὡγίον μίαν τάβλαν ὡς τὸ πάγος, καὶ τὸ ν' ἀργήσῃ λεῖ καὶ γίνεται ψιλὸν ὡς γίον τὸν κορνιακτὸν, καὶ χολλιάζουνται τυφλοὶ καὶ θεραπεύουνται. Ἀκόμη ὁ ἅγιος Φώτιος πλησίον Ἀθιένου, καὶ κράζουν τὸ πραστεῖον Ἅγιον Φώτην, καὶ ἑορτάζεται ιη'. Ἰουλίου καὶ πολομᾷ πολλὰ θαύματα, καὶ εἶναι ἀπὸ τ'. Καὶ εἶναι καὶ ὁ ἅγιος Διομήδιος μαθητὴς τοῦ ἁγίου Τριφυλλίου, καὶ μίαν φοράν, ἀποὺ ταῖς πολλαῖς φοραῖς ὅπου πῆραν οἱ Σαρακηνοὶ τὴν Κύπρον, ηὗραν εἰς τὴν Ὁδηγήτριαν τὸ κοιμητήριν τοῦ ἁγίου Τριφυλλίου, καὶ ἀνοῖξάν το καὶ ηὗραν τὸν ἅγιον τοῦ θεοῦ σωστόν, καὶ ἐκόψαν

τὴν κεφαλήν του καὶ ἐπῆράν την ὧδε ὅπου εἶναι ἡ λοτζα τοῦ βισκούντη, καὶ ἐπίασαν νὰ τὸν κάψουν, καὶ ἔδωκέν τους ὁ θεὸς κώλυσιν· καὶ τὸ παιδάκιν ὁ ἅγιος Διομήδιος ηὗρεν ἀδειάσιν καὶ ἔκλεψε τὴν ἁγίαν του κεφαλὴν καὶ ἔφυγεν, καὶ ὅταν τὸ βάλαν τὸ σῶμαν, ὧδε ὅπου εἶναι ἡ βαπτιστήρα ὅπου φωτίζουν, ἐγυρέψαν τὴν κεφαλήν, ὧδα σκοπίζουν, ἐκεῖ ἀγυρεύγουν, ἐμάθαν πῶς τὴν ἐπῆρεν τὸ παιδὶν καὶ ἔφυγεν, ἐτρέξαν κἄποσοι ὀπίσω του καὶ ἐφθάσαν τον εἰς τὴν φούρκαν ὅπου κρεμάζουν τοὺς κλέπταις· θωρῶντα πῶς ἔρχουνταν ἀναγκαστοί, ἐφοβήθην, καὶ ἐφυσῆσέν τους ἐπὶ ὀνόματος κυρίου Ἰησοῦ, καὶ ὅτοιμα ἐπρήστησαν καὶ ἔπεσαν χαμαί, καὶ ἐπῆρέν την καὶ ἐπεσώθην εἰς τὸν Λευκομιάτην· καὶ οἱ Σαρακηνοὶ ὅπου ἦσαν πρησμένοι, ἦλθαν ὀλίγον τὸ κατὀλίγου ὡς τὸν Λευκομιάτην, καὶ ἐπαρακάλεσάν τον νὰ τοὺς γιάνῃ, καὶ ἐπρουμουτιάσαν του νὰ μὲν ἔρτουν εἰς τὴν Κύπρον νὰ ποίσουν κακόν, καὶ ἐγιάνεν τους· καὶ ἐκοιμήθην ἐκεῖ ὁ ἅγιος, καὶ ἐκτίσαν του ναὸν, καὶ ὡς τὴν σήμερον πολομᾷ πολλὰ θαύματα.

Καὶ ὁ ἅγιος Γεώργιος ὁ Μαχαιρωμένος εἰς τὸν Ἀχλίοντα τοπικὸς θαυματουργός. Ὁμοίως ὁ ἅγιος Ἀθανάσιος ὁ Πενταγσκοινίτης, ἀπὲ τὸ Πεντάσχοινον, καὶ βρύει ἰάματα. Καὶ ὁ μέγας Ἰωάννης ὁ Λαμπαδιστὴς εἰς τὴν Μαραθάσαν, ὁποῦ διώχνει τὰ δαιμόνια, ὁ ποῖος ἦτον διάκος εἰς τὴν ἀνορίαν τῆς Μαραθάσας. Ὁμοίως ὁ ἅγιος Σώζοντας εἰς τοῦ Πλακουντουδίου παιδὶν βοσκαρίδιν, καὶ ἐτρέξαν το οἱ Σαρακηνοὶ ὅταν ἐκάψαν τὴν εἰκόναν τῆς Θεοτόκου εἰς τὴν μονὴν καὶ ἐτυπώθην εἰς τὰς πλάκας καὶ εἶναι μέχρι τὴν σήμερον, καὶ ἐφεῦγεν καὶ ἐσκοντίλησεν καὶ ἐτζακίσθην τὸ γαλευτῆριν καὶ ἐχενώθην τὸ γάλαν καὶ εἶδαν τὸν τόπον πάντες, καὶ ἐνέβην εἰς τὸ σπήλαιον μὲ τὰ ἄλλα παιδία, καὶ ἐβάλαν λαμπρὸν καὶ ἐκάψαν τα· καὶ ἐκτίσαν ναὸν καὶ ἐβάλαν τὰ ἁγιάσματα καὶ θεραπεύουν πᾶσαν νόσον. Ὁμοίως εἰς τὴν γῆν τοῦ Κάζα Πιφάνη πρὸς τὸν

βορέαν εὑρίσκεται μία περνιέρα γεμάτη λείψανα, ὅγιον λέγονται Ἅγιοι Φανέντες· καὶ τὰ λείψανα ἐστεγνῶσαν καὶ ἦλθαν καὶ ἐκολλῆσαν ὥςπερ πέτραι, καὶ ἂν εὐγῇ κανέναν βαρὺ ὡς γίον πέτρα, καὶ εἶναι ἀποὺ τοὺς τ'. ὁποῦ φύγαν ἀπὲ τὴν Συρίαν. Ὁμοίως εἰς τὸ χωρίον τὸν Λάρνακαν ἔν' ἡ μονὴ τοῦ ἁγίου Ὀλφιάνου ἀπὸ τοὺς τ'.

Ὁμοίως εὑρίσκεται εἰς τὴν Μαραθάσαν εἰς τὸν Κύκον ἡ εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου· ἔρκοντα τοῦ κυροῦ Μανουὴλ τοῦ Βουτουμήτη δούκας εἰς τὴν Κύπρον, ηὗρεν πτωχὸν γέρον εἰς τὰ ὄρη Μαραθάσας ὀνόματι Ἡσαΐας, καὶ μέσα εἰς πολλοὺς ἔδωκέν του λακτίαν, καὶ εἰς ὀλίγον καιρὸν ἔπεσεν εἰς ἀστένειαν τὴν λεγομένην ψατίκαν, καὶ εἶδεν εἰς τὸ ὅραμάν του, ἐστράφην εἰς τὸν ἅγιον νὰ λάβῃ εὐχὴν, καὶ ἀποκαλύφθην τοῦ μοναχοῦ ἡ Θεοτόκος, νὰ ζητήσῃ τὸ εἰκόνισμαν ἀποῦ βρίσκεται εἰς τὸ παλάτιν τοῦ βασιλέως εἰς τὴν Πόλιν νὰ τὸ φέρουν ὧδε, ὡς γίον καὶ ἐγένην· ἔπεψέν το ὁ βασιλεὺς καὶ ἔκτισεν τοῦ μοναχοῦ μονὴν καὶ ἔδωκέν του μέγα χαρίσματα. Ὁμοίως εἰς τὴν ἐκκλησίαν ὁ ἅγιος Νεόφυτος, ὁ ποῖος ἦτον παιδίος καλόγηρος ἀπὲ τὰ Λεύκαρα καὶ ἐγίνην στηλίτης εἰς τὸ αὐτὸν μοναστήριν, καὶ ἐκοιμήθην, καὶ εἶναι ὁ τάφος του ἐκεῖ καὶ βρύει θαύματα. Ὁμοίως εὑρίσκεται ὁ σταυρὸς τοῦ Λύμπα, ὁ ποῖος κράζεται ὁ Μέγας, καθὼς ὀπίσα ξηγᾶται, καὶ ὁ σταυρὸς ὁ Φανερούμενος, ὁ σταυρὸς τῆς Ψόκας τοῦ λεγομένου Κοκᾶ, ὅπου βρύει μῦρον, καὶ οὗλοι ἔχουν ἀπὲ τὸ τίμιον ξύλον καὶ πολομοῦν θαυμαστὰ θαύματα.

Ἀκόμη εὑρίσκουνται εἰς τὴν Κύπρον ἡ δύο κεφαλάδες τοῦ ἁγίου Κυπριανοῦ καὶ Ἰουστίνης, οἱ ποῖοι ἐμαρτυρῆσαν εἰς τὴν Ἀντιόχειαν, καὶ εἰς τὴν κάκωσιν τῆς Συρίας ἐφέραν ταις εἰς τὴν Κύπρον καὶ ἐβάλλαν ταις εἰς ἕναν ἐκκλησοῦδιν εἰς τὸ Μένικον, καὶ εἰς τὸ πλευρὸν τοῦ βημάτου· πρὸς τὸν νότον ἔχει λάκκον, ὅπου πολομᾷ μεγάλαις ἴασες εἰς γαρισούραν καὶ εἰς

τὰς πύρεξες· καὶ εἰς τὸν καιρὸν τοῦ ρὲ Πιὲρ τοῦ μεγάλου εἶχεν τὴν καρτάναν καὶ δὲν ἠμπόρησεν ναὕρῃ ὑγείαν, τινὲς εἶπάν του διὰ τὸν ἅγιον Κυπριανὸν καὶ Ἰουστίναν ὁποῦ εἶναι εἰς τὸ Μενικὸν κοντὰ τοῦ Ἀκακίου, ὁ ποῖος ἦρτε καὶ προποτίστην καὶ πάραυθα ἐγίανεν· εἶναι ἀληθείᾳ τὸ νερὸν εἶναι πολλὰ γλυφὸν καὶ κακόποτον, ἀμμὲ θαυμαστὸν εἰς ἰατρείαν· καὶ ὥρισεν καὶ ἐποῖκαν ἐκκλησίαν ἀποὺ γῆς καὶ ἀργύρωσεν ταῖς β΄. κεφαλαῖς, καὶ εἰς τὴν κορυφὴν ἀφῆκεν τόπον μὲ πόρταις νὰ προσκυνοῦσι τὰ λείψανα.

Ὁμοίως ὁ Ἰγνάτιος ὁ πατριάρχης Ἀντιοχείας γροικῶντα τὴν μεγάλην ζημίαν τὴν ἐποῖκεν ἡ ἀκρίδα, εἶπεν τοῦ ρὲ Οὖγκε καὶ ὥρισεν καὶ ἐζωγραφῆσαν ἕναν εἰκόνισμαν τὸν ἅγιον Χριστόφορον μάρτυραν, καὶ τὸν ἅγιον Ταράσιον πατριάρχην Κωνσταντινουπόλεως, καὶ ἅγιον Τρύφον μάρτυραν, καὶ ἐγκαινίασεν ὁ αὐτὸς πατριάρχης καὶ ἐστεῖλάν το εἰς τὸ Παλόκυθρον, ὅτι ἐκεῖ ἐγένετον· καὶ εἶπέν τους εἰς τὸ γέννημάν της νὰ λιτανεύουν τὸ εἰκόνισμαν καὶ νὰ λειτουργᾷ, καὶ ὁ κύριος νὰ φυλάξῃ τοὺς καρποὺς, καθὼς μοῦ τὸ εἶπεν ὁ κὺρ παπᾶ Φίλιππος.

Ἂς ἔλθωμεν εἰς τὸ προκείμενον. Ἐστέφθην ὁ ρὲ Οὖγκε Τελουζουνίας ὁ υἱὸς τοῦ ρὲ Ἀμαρῆν καὶ ἐπέθανεν εἰς τοὺς ᾳσιθ΄ Χριστοῦ· ἡ γυναῖκά του ἡ ρήγαινα Ἄλις τοῦ ἄνωθεν ρὲ Οὖγκε ἐκράτησε τὸ ρηγάτον ὅλης ιθ΄. Χριστοῦ· καὶ μετὰ τὸν θάνατον τοῦ ρὲ Οὖγκε ἐρμάστην μὲ τὸν Ρεῖμουν τὸν υἱὸν τοῦ πρίντζη, καὶ ἐτελεύτησεν ὁ αὐτὸς Ρεῖμουν ᾳσλβ΄. Χριστοῦ· καὶ ἡ συμβία του ἡ ρήγαινα ἐπῆγεν εἰς τὴν Φρανγκίαν νὰ ὁρμαστῇ μὲ τὸν κούντη τὲ Τζάμπα· καὶ δὲν ἁρμόστην, καὶ ἐστράφην ἀπὲ τὴν Τσαμπάναν εἰς τὴν Κύπρον ᾳσλε΄. Χριστοῦ καὶ ἁρμόστην εἰς τὴν ἐχρονίαν ᾳσλθ΄. μὲ τὸν Ραοὺλ Τεσασοῦς. Καὶ εἰς τὴν ἐχρονίαν ᾳσμβ΄. ἐστράφησαν οἱ Ἀνκούδαρδοι εἰς τὴν Κύπρον μὲ τὴν βουλὴν τοῦ σὶρ Ἀμαρὴν Παρλᾶς καὶ τοῦ σὶρ Ἀμαρὴν Τεπεσὰν καὶ τοῦ Χουὲτ Τεζηπλὲτ· καὶ

ὁ κύρης τοῦ Βερουτίου καὶ τὰ παιδιά του ἐτζ[illegible] τους, καὶ ἔμεινεν τὸ κουβέρνον εἰς τὰς χεῖρας τῆς ἄνωθε τάμε Ἀλὶς ὅλης ἐχρονίας ᾳσμϛ΄. Χριστοῦ· καὶ ἀπόθανεν, καὶ εσταθην ὁ υἱὸς αὐτῆς Ρουνέκλης ὁ Χαρὴν, καὶ ἁρμόστην μὲ τὴν Πλατζιάνσα εἰς τὴν ἐχρονίαν ᾳσμϛ΄. Χριστοῦ· καὶ ὁ αὐτὸς ρὲ Χαρὴν ἐπέθανε τῇ κθ΄. αὐγούστου ᾳσξα΄. καὶ ἐστέφθην ὁ Οὖγκε, καὶ ἐπέθανεν ᾳσξζ. Τῇ κε΄. δικεβρίου ἐστέφθην ὁ Οὖγκε ὁ ἀνηψιός του τὴν ἡμέραν τῶν γεννῶν ᾳσξη΄ ρήγας τῆς Κύπρου, καὶ τῇ κδ΄. σεπτεβρη ᾳσξθ΄. ἐστέφθην ρήγας τῶν Ἱεροσολύμων· καὶ ἐπέθανεν τῇ κζ΄. μαρτίου· καὶ ἐστέφθην ὁ καλὸς ρὲ Οὖγκε, καὶ ἐπέθανεν τῇ ι΄. μαγίου ᾳσπε΄. καὶ ἐστέφθην ὁ καλὸς ρὲ Χαρὴν, ἀδελφὸς τοῦ καλοῦ ρὲ Τζουὰν τῇ κδ΄. ἰουνίου· καὶ τῇ ιε΄. αὐγούστου ᾳσπϛ΄. τὴν ἡμέραν τῆς Θεοτόκου ἐστέφθην ὁ ρὲ Χαρὴν εἰς τὴν χώραν τῆς Τύρου ρήγας τῶν Ἱεροσολύμων· ὅτι ἀκομὶ ἀποκρατοῦσαν χώραις εἰς τὴν Συρίαν διὰ χειρὸς τοῦ φρὲ Πουνακοῦρος, ἀρχιεπίσκοπος Τύρου· καὶ τὴν ἐχρονίαν ᾳτϛ΄. Χρίστοῦ τῇ κϛ΄. ἀπριλλίου ὁ μισὲρ Μαρὶν Τελουζινιᾶς ὁ υἱὸς τοῦ ρὲ Οὖγκε, ὁ κύρης τῆς Τύρου καὶ κοντοσταύλης τῶν Ἱεροσολύμων ἐψηφίστην κουβερνούρης τῆς Κύπρου μὲ τὸ θέλημαν ὅλους τοὺς περί του αὐθένταις, καὶ ψουμάτους καὶ σορδάτους, ὁποῦ εὑρίσκουνταν κατὰ τὴν ἡμέραν. Διὰ καλὸν πρόσωπον ὁποῦ τοὺς ἔδειξεν ὁ κύρης τῆς Τύρου ἐκόμπωσέν τους καὶ ἔβαλέν τους εἰς τοῦτον τὸ κακὸν θέλημαν, νὰ πᾶσιν κατὰ πρόσωπα τοῦ καλοῦ τους αὐθέντη χωρὶς καμμίαν ἀφορμὴν τὴν ἐποῖκεν· καὶ μεσὸν τοὺς αὐθένταις τῆς Κύπρου εἶχεν δύο ὅπου δὲν ἦσαν εἰς τὴν βουλήν του, οὐδ᾽ ἐθέλησαν νὰ ἦναι ποτὲ εἰς τούτην τὴν παραβουλιὰν, τουτέστιν, ὁ μισὲρ Φιλιππε τὲ Ἱμπελὴν συνεσκάρδος τοῦ ρηγάτου τῆς Κύπρου, ὁ ποῖος ἦτον ἀδελφὸς τῆς ρήγαινας τῆς μάνας τοῦ ρηγός, καὶ ὁ μισὲρ Τζουὰν Ταπιέρη ἐξάδελφος τοῦ ρήγα, ἀδελφότεκνος τῆς ρήγαινας, υἱὸς τῆς ἀδελφῆς της, καὶ ἄλλοι πολ-

λοὶ ψουμάτοι καὶ σορδάτοι ὁποῦ δὲν ἐκουβεντιάσαν εἰς τοῦτον τὸ κακόν. Εἶχεν ἔξη μῆνες ὅπου ἐπλημμέλαν ὁ κύρης Τύρου πῶς νὰ τελειώσῃ, καὶ ἐβάλαν του ἀφορμὴν ὅτι ἔπεφτεν ἀπὸ κακὴν ἀρρωστίαν· καὶ ὁ κύρης τῆς Τύρου καὶ ὁ ἀδελφός του ὁ κοντοσταύλης ηὗραν τούτην ἀφορμήν, ὅτι διὰ τὴν μεγάλην πτωχίαν τὴν εἶχαν, ὅτι ἐξωδιάζαν τὸ δικόν τους ἄπρεπα, καὶ εἶδαν ὅτι ὁ ρήγας ἦτον πλούσιος, γιὰ νὰ πάρουν τὸ ἐδικόν του ἐννοιάστησαν τούτην τὴν παραβουλιάν. Καὶ γροικῶντα κάτινες καβαλλάριδες πιστοὶ τοῦ ρηγός, εἶπαν τὸ πρᾶγμαν τοῦ ρηγός· ὁ ρήγας ἦτο πολλὰ καλός, δὲν ἐπίστευσεν τὰ λογία τους, λαλῶντα: δὲν θέλουν τορμήσει τ' ἀδερφία μου ποτὲ νὰ μποῦν εἰς τούτην τὴν φαντασίαν. Θεωρῶντα οἱ καβαλλάριδες τὸ πῶς ὁ ρήγας δὲν ἐπίστευσεν, καὶ οἱ καταδίκοι του ἀναγκάζαν τὸ πρᾶγμα, ἐξ αὐτῶν τους ἐπῆγα κάτινες κρυφὰ εἰς τὸν συνεσκάρδον, ὁ ποῖος ἦτον εἰς τὸ χωργιόν του καὶ δὲν εἶχεν κανέναν μαντάτον ἀληθινόν, ὡς γιὸν τοῦτον· καὶ ἔδωκαν τοῦτο ἀληθινὰ νὰ τὸ μάθῃ, παραῦτα ἐξέβην καὶ ἦρτεν εἰς τὴν χώραν, καὶ ἦτον πρὶν τελειωθῇ τὸ κακὸν ἀποὺ μίαν ἡμέραν, καὶ ἐπῆγεν εἰς τὸν ρῆγα καὶ ἐσύντυχεν μὲ τὴν ἀδελφήν του τὴν ρήγαινα, καὶ μανθάνοντα ἀληθινὰ πῶς τὸ κατάστησεν ὁ ἀδελφότεκνός του ὁ κύρης τῆς Τύρου νὰ τὸ τελειώσῃ, ἐπάντεχε ὁ καλὸς αὐθέντης νὰ τοῦ συντύχῃ καὶ νὰ τοὺς ἀποκόψῃ, καὶ ἔβαλέν τον εἰς τὴν στράταν τῆς δικαιοσύνης καὶ ὅρκου, καὶ ἂν γενῆ θέλ' εἶστεν μεγάλην κατηγορία εἰς τὸν κόσμον· ἀμμὲ εἰς κουφοῦ πόρταν ἐσυντύχανεν, τίποτες οὐδὲν ἐφέλεσεν· ἐστράφην εἰς τὸν ρῆγα τὸν ἀδελφότεκνόν του τὸν ρὲ Χαρήν.

Τὴν ἀτὴν τρίτην κϛ' ἀπρίλην ͵ατϛ'. ἐτελειώθησαν ἡ βουλαῖς, καὶ ἐπῆγεν ὁ μισὲρ Ἀμαρὴν Τελουζουνία ὁ ἀφέντης τῆς Τύρου, καὶ ὁ ἀφέντης ὁ Χαμερὴν ὁ κοντοσταύλης τῆς Κύπρου ὁ ἀδελφός του, καὶ ὁ μισὲρ Παλίαν πρίντζης τῆς Γαλιλαίας ὁ γαμπρός του, καὶ ὅσοι ἔσαν τῆς βρωμισμένης βουλῆς

εἰς τὸ λουτρόν, καὶ ἐστράφησαν ἔσω του, καὶ ἐφάγαν γιόμαν ὅλοι ἀντάμα καὶ ἐλούθησαν εἰς τὸ λουτρὸν τοῦ σὶρ Χίου Περιστερῶν, καὶ ἄνταν ἀποφάγαν, ἐπέψε καὶ ἐκράξεν τους ὅλους τοὺς λιζίους καὶ καβαλλάρους καὶ σορδάτους ὅσοι εὑρίσκουνταν εἰς τὴν Λευκοσίαν, καὶ ἐβάλαν τους καὶ ὠμόσαν· καὶ ὠμόσαν μερτικὸν θεληματικῶς, καὶ μερτικὸν χωρὶς τὸ θέλημάν τους· καὶ ὁ ὅρκος ἔνι τοῦτος: Μόνω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια νὰ βλεπήσω ὡς ὅσον ἦτον ἀφέντης μας, τὸν ἀφέντην τῆς Τύρου κατὰ πρόσωπα πᾶσα ἀνθρώπου, εὐγάλλοντα τὸ κορμὶν τοῦ ἀφέντη μας τοῦ ρηγός, τοῦ ποίου εἶμεσθεν κρατούμενοι μὲ ὅρκον. Καὶ εἰς τοῦτα οὗλα ὁ συνεσκάρδος δὲν ἦτο, καὶ μανθάνοντά τον, ἐκαβαλλικεῦσεν, καὶ ἡ ἀδελφή του ἡ ρήγαινα ἡ μητέρα τοῦ ρηγὸς καὶ ἐπῆγαν ν' ἀποτζακίσουν τὸν υἱόν της καὶ τοὺς ἄρχοντες· καὶ ἐμπαίνοντα ηὗραν οὕλους τοὺς καβαλλάριδες, ψουμάτους, σορδιέριδες πουρζέζιδες, λιζίους σωρεμένους, καὶ ἡ ρήγαινα ἐπαρακάλεσέν τους, καὶ ἐκατηγορῆσέν τους νὰ στραφοῦν ἀπὸ τὴν μερίαν τοῦ ρηγός· καὶ δὲν εἶναι τιμή σας, παρὰ πάντα ἀντροπή σας, καὶ κρίμαν· καὶ πᾶτε κατὰ πρόσωπα τοῦ θεοῦ καὶ τοῦ ἀφέντη σας, καὶ βάλλετε τὸ νησὶν τοῦτον εἰς κατάλον, καὶ ἀνοίγετε τὰ μάτια τοῦ λαοῦ καὶ νὰ ρεβελιάσουν· μηδὲν πᾶτε κατὰ πρόσωπα τοῦ καλοῦ σας ἀφέντη τοῦ ρηγὸς καὶ τοὺς ὅρκους σας! Τότε οὗλοι εἶπαν μὲ κακόν, νὰ πᾶμεν κατὰ πρόσωπα τοῦ ἀφέντη μας! Γροικῶντα ὁ κύρης τῆς Τύρου ἐσύντυχεν πολλὰ λογία χοντρὰ τοῦ θείου του τοῦ συνεσκάρδου, λαλῶντα, τίς σοῦ εἶπε νἄρτῃς ἔσω μου, καὶ ξηλώνεις ταῖς δουλειαῖς μου! Τότες ὁ συνεσκάρδος, ἀφῆκεν τὴν ρήγαιναν ἐκεῖ, καὶ κεῖνος ἐστράφην εἰς τὴν αὐλὴν τοῦ ρηγὸς, καὶ ποῖκεν συντροφίαν τοῦ ρηγός, καὶ ἐφοβήθην μηδὲν βάλλουν χέρι ἐπάνω του, ὅτι ἐθυμώθησαν. Ἡ ρήγαινα ἐκλαῦσεν πολλὰ καὶ ἐδέρνετον, καὶ τίποτες δὲν ἐφέλεσεν. Ἀκομὴ ὁ μάστρος τοῦ Σπιταλίου φρέρε Τζάκε Τεμιλᾶ ἦτον ἔξω, καὶ τὸ νἄρτη ἐμη-

νῦσέν του καὶ πῆγεν, καὶ ἐσμίκτην μετά τους· ὁ ποῖος ἐδάνεισεν τοῦ κυροῦ τοῦς Τύρου μ'. χιλιάδες ἄσπρα τῆς Κύπρου. Ο'μοίως καὶ ὁ μισὲρ Τανολάνε ὁ πίσκοπος τῆς Λεμισοῦ ἐσμίκτιτην μεσόν τους· καὶ ὁ κύρης τῆς Τύρου εἶχέν τον πολλὰ ἀκριβόν. Θωρῶντα ἡ ρήγαινα ὅτι δὲν ὠφελᾷ καὶ δὲν ἠμπόρεσεν νὰ τοὺς ἀποτζακίσῃ, παρὰ σκαντάλον ἐγενίσκετον, ἐστράφην πρὸς τὸν ρήγαν πολλὰ πικραμένη μὲ κακὴν καρδίαν. Τὴν αὐτὴν ἡμέραν τὸ 'σπερὸν ὅλοι ἀντάμα ἐγράψαν εἰς χαρτὶν ταῖς ἀφορμαῖς τοῦ αὐτοῦ ρηγός, διὰ ταῖς ποίαις ἐκαβαλλικέψαν καὶ ἦρταν εἰς τὴν αὐλὴν τοῦ ρηγός, καὶ ἐμπῆκαν εἰς τὸ τρυπὰς κοντὰ εἰς τὸ κελλὶν τοῦ ρηγός, καὶ ἀνέβην ὁ μισὲρ Μπαντουὴν τὲ 'Ημπλὴν εἰς τὸ κελλὶν τοῦ ρηγὸς ὁποῦ κείθετον ἀστενής, καὶ εἶπεν τοῦ ρηγός· 'δὲ τοὺς ἄρχοντας τοῦ λαοῦ σου ἦλθαν εἰς αὐτόν σου νὰ συντύχουν! ὁ ρήγας ἐγύρισεν καὶ εἶπεν του· εἶσαι καὶ σοὺ μὲ τὴν συντροφίαν τους· γιά σου! Καὶ ὅτοιμα ὁ κύρης τῇ Τύρου καὶ οὖλοι ἀντάμα ἐνέβησαν εἰς τὸ κελλὶν τοῦ ρηγὸς καὶ ηὗράν τον ἄρρωστον, καὶ ἀκάθετον εἰς τὸν θρόνον καὶ ἕναν ραβδὶν εἰς τὸ χέριν του καὶ ἐκούμπιζεν.

Καὶ μοναῦτα ὥρισεν ὁ κύρης τοῦς Τύρου καὶ ἐδιαβάσαν τὸ χαρτίν, καὶ ἐδόθην τοῦ σὶρ Οὖγκε τὲ 'Ημπελὴν νὰ τὸ διαβάσῃ ὀμπρὸς τοῦ ρηγὸς καὶ ὅλου τοῦ λαοῦ· τὸ ὁποῖον χαρτὶν ἦτον πολλὰ ζητήματα κατὰ πρόσωπα τοῦ ρηγός, κατηγορῶντά του καὶ μέφοντά τον· τὰ ποῖα ζητήματα εἶ πολυξήγητα νὰ γραπτοῦν, ἀμμὲ τὸ μεγαλείτερον ἐλάλεν, ὅτι ὁ ρήγας ὡς γίον κουβερνιάζει τὸ ρηγάτον ἐρκέται ζημία, καὶ ὄνταν χρειαστῇ θέλει γυρέψειν νὰ πάρῃ ἀπὸ τοὺς λᾶς· διὰ τοῦτον ἐφάνην μας ὅλους ἀντάμα καὶ ὠρδινιάσαμεν κουβερνούρην τὸν ἀδελφὸν τοῦ ρηγὸς τὸν κύρη τῆς Τύρου, ὡς γίον ἐκεῖνος ὁποῦ εἶναι κληρονόμος, καὶ ἐμπαίνει του νὰ γυρέψῃ τὸ καλὸν τοῦ ρηγάτου.

'Ο ρήγας ἀπολογήθην καὶ εἶπέν τους: ἐγροίκησα τὸ κακὸν θέλημαν τὸ ἔχετε μετά μου, καὶ ἐγράψετε κεφάλαια ἄπρεπα·

τανίκιν, τώρα ὅλοι γοί ἐχθροί του ἐδιάβησαν, καὶ ἄλλους ἐσκότωσεν, καὶ ἄλλοι ἐπεθάναν, καὶ ἄλλοι παραδόθησάν του, καὶ προυμουτιάζω σου καὶ εἶναι εἰς μεγάλην ἀφεντίαν, μονοκράτωρ τοῦ μουσθλουμανίου, καὶ παρὰ τὰ πάντα εἶναι πολλὰ πλούσιος παρὰ σέναν, καὶ ἔχει καὶ πολλοὺς σοφοὺς εἰς τὴν βουλήν του, καὶ τὰ φουσάτα περίττου πειρασμένα τοῦ κόπου παρὰ τὰ δικά σου, καὶ δὲν σοῦ ξηγοῦμαι διὰ ἀνθρώπους αρματωμένους, ἀμμὲ διὰ ἀνθρώπους ἀντριωμένους, καὶ εἶναι διδασκαλεμένοι, ὅτι ἔχει μητροπόλεος ὅπου εἶναι δυναταῖς παρὰ ταῖς δικαῖς σου καὶ πλουσίαις παρὰ τὴν χώραν σου, καὶ ἂν δὲν πιστέψης ὅρισε νὰ σοῦ φέρουν τὸ χαρτὶν τὸ κράζουν Μαππεμοῦντι, καὶ ἄνοιξέ το καὶ θέλεις ἰδεῖν τὴν ἀφεντίαν τὴν κρατεῖ ὁ σουλτάνος· καὶ ἡ μεγαλότητα τοῦ νησίου σου εἶναι μία πέτρα φυτεμένη εἰς τὴν θάλασσαν. Καὶ μὲν γενῇς ἄπιστος, ἀλλὰ πίστευσαί μου· ἐγὼ πολομῶ εἰς αὐτόν σου, ὡς γίον πολομᾷ καλὸς πατὴρ πρὸς τὸν υἱόν του· δὲν ἠξεύρω, ἂν ἦναι ὁ θεὸς ἀγγρισμένος μετά σου, καὶ οἱ συνβουλατόροι σου μισοῦν σε καὶ κωλύουν σε· καὶ προυμουτιάζω σου, ὅτι ἀπὸ τὸν καιρὸν τοῦ Μελαίζα καὶ τοῦ Μπάρκου, ὁ θεὸς δὲν ἔπεψεν ἤτζου δυνατὸν σουλτάνον· προυμουτιάζω σε εἰς τὸν ποιητὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἂν δὲν ἀποστραφῇς ἀπὲ τὴν μωρικὴν βουλὴν τούτην, θέλεις νικηθῆν, καὶ θέλεις χαλαστῆν, καὶ θέλεις ἐξοριστῆν, καὶ τἄπισα θέλεις το μετανώσειν, καὶ δὲν ἀφεληθῇς. Υἱέ μου, πάγω κατάδικα τῆς συνειδήσης μου καὶ κατάδικα τῆς πίστης μου, διότι εἶσαι ἄλλος παρὰ τὴν πίστην μου, καὶ ἀδιζιάζω σε κατάδικα τοῦ ἀφέντη μου ὀρθοδόξου, ἀλλὰ ἡ ἀγάπη ἡ μεγάλη τὴν ἔχω μετά σου ἀναγκάζει με τοῦτον ποῖσαι. Ὡς γίον γροικῶ ἀπού ξένους καὶ ἀπὸ τοὺς λᾶς σου τὰ ξηγοῦνται διὰ τὰ καλά σου καμώματα, καὶ ἔχω σε διὰ ἀκριβόν μου παιδίν, ὡς θεὸς οἶδεν, ὡς γίον νὰ εἶχά σε γεννήσειν, καὶ παραγγέλλω σου, μηδὲν βάλλης τὸ κορμίν σου καὶ τὴν βασιλείαν σου εἰς δικιμήν,

καὶ παρακαλῶ τὸν θεὸν νὰ σὲ ἀποβγάλλῃ ἀπὲ τὰ χέργια τοὺς Σαρακηνούς· καὶ διὰ πιστὴν ἀλήθειαν καὶ τελειουμένην ἀγάπην πέμπω σου τὸν ἀκριβόν μου υἱόν, καὶ εἶπουν του πολλὰ λογία νὰ σοῦ συντύχῃ, καὶ πίστεψέ του εἴ τι σοῦ πῇ. Ἄλλον δὲν σοῦ γράφω· τοὺς ὁρισμούς σου ὅριζέ με· ὁ θεὸς νὰ σὲ πολυχρονῇ.»

Καὶ ἄνταν ἦλθεν ὁ υἱὸς τοῦ σιέχη εἰς τὴν Ἀμμόχουστον μὲ τὸ χαρτὶν καὶ μὲ χρήσιμα κανισκία, καὶ ἐποῖκάν το νῶσιν τοῦ ῥηγός, ἐκάτσεν ὁ ῥήγας εἰς τὴν βουλήν, καὶ εἶπάν του ὅλοι οἱ καβαλλάριδες νὰ μὲν τορμίσῃ νὰ τὸν ἀφήσῃ νὰ μπῇ ὀμπρός του, διὰ νὰ μὲν τὸν μαγέψῃ καὶ τὸ φουσάτον του, διότι οἱ Σαρακηνοὶ πολλὰ τὰ τρέχουν, καὶ μὲ τὴν τέχνην τῆς ἀστρολογίας ἠμποροῦσι νὰ μᾶς χαλάσουν ἀπὸ τὸν κόσμον. Ὄνταν ἐγροίκησεν ὁ ῥήγας τὴν βουλήν, ἐθέλησε νὰ ποίσῃ τὸ πεῖν τους, καὶ ὥρισε νὰ μὲν τὸν φέρουν ὀμπρός του, ἀμμὲ νὰ τὸν πάρουν ἀπὸ τὴν Ἀμμόχουστον εἰς τὸ Λευκόνικον. Καὶ ἔπεψεν τὸν μάστρε Τζουὰν Συνγκριτικὸν τὸν ἰατρὸν καὶ τὸν Περρῆν Πελεστρίον τὸν βαχλιώτην του, καὶ ἔφερέν τον καὶ ἐδούλευγέν του ἀποὺ πᾶσα πρᾶμαν τὸ ἐχρήζετον· καὶ ἔπεψεν τζουρτζουμάνον τὸν σὶρ Μανοὴλ Δαβὶδ τὸν λουσιέρην του, καὶ ἔπεψεν τὸν κὺρ Βασίλη τοῦ Σακκῆ μετά του νὰ τὸν ὁδηγᾷ μουφλεττία ἄσπρα, κρασὶν ἄσπρον τοῦ στομάτου τοῦ ῥηγός, καὶ στομαχικά, καὶ ἄλλα πολλὰ ὄμορφα πράματα· ὁ ποῖος εἶχέν τα γιὰ οὐδετίποτες, ἀμμ' ἐζήταν διὰ νὰ ἔλθῃ ὀμπρὸς τοῦ ῥηγός, καὶ δὲν εἶχαν ὁρισμόν, οὐδὲ ἐτορμοῦσαν νὰ τὸν φέρουν· καὶ ἄνταν ἐγανάκτισεν ὁ υἱὸς τοῦ σιέχη, εἶπεν τοῦ Πιλιστρῆ — διδῶ σου ρʹ δουκάτα, καὶ ἔπαρ' με ὀμπρὸς εἰς τὸν ῥῆγα, οὖ δὲ κανοῦ σε μαντατοφορίαν εἰς τὸ ῥῆγα νὰ μὲ ἀφήσῃ νὰ πάγω ὀμπρός του, ὅτι ἔχω πολλὰ λογία κρυφὰ διὰ νὰ τοῦ συντύχω διὰ τὸ καλόν του. Ὁ αὐτὸς Περρῆς ἦλθεν καὶ πολλὰ ἐβίασεν τὸν ῥῆγα νὰ τοῦ δώσῃ ὁρισμὸν διὰ νὰ τοῦ τὸν φέρῃ, καὶ ψέματα εκοπίαζεν, ότι οἱ καβαλλαριδες δεν τον αφιναν· και αν-

ταν δὲν ἠμπόρησεν πλέον, ἐστράφην· καὶ ὄνταν τὸν εἶδεν ὁ υἱὸς τοῦ σιέχη καὶ δὲν τοῦ ἔφερεν ὁρισμὸν νὰ ἔλθῃ εἰς τὸν ρῆγα, εἶπέν του — ἀδελφέ, ἔχω ἕναν κρυφὸν χαρτὶν ἀπὲ τὸν πατέραν μου, καὶ ἔπαρ' το καὶ δός το τοῦ ρηγός. Καὶ ἄνταν τὸ ἔφερεν τὸ χαρτὶν ἔμπροσθεν τοῦ ρηγός, ἐδιαφεντέψαν τον οἱ καβαλλάριδες νὰ μὲν τὸν βάλλῃ εἰς τὸ χέριν του, ἀμμὲ ἔδωκέν το τοῦ σὶρ Τζόρτζε Χατὶπ καὶ ἐμεταγλώττισέν το φράγγικα· καὶ ἄνταν τὸ ἐδιαβάσαν ἔμπροσθεν τῆς βουλῆς, εἶπάν του — ἔξευρε ὅτι ὁ σουλτάνος εἶναι πολλὰ πληξισμένος διὰ λόγου μας καὶ φοβᾶται, καὶ διὰ τοῦτον θέλει νὰ ποίσῃ ἀγάπη, καὶ παρακαλεῖ, καὶ μήνυσεν τοῦ σιέχη νὰ πέψῃ τοῦτον τὸ χαρτὶν διὰ νὰ μᾶς κομπώσῃ, διὰ νὰ μὲν πᾶμεν ἀπάνω του· καὶ προυμουτιάζω σου, ἂν πᾶμεν, θέλομεν φέρειν τόσους σκλάβους, ὅτι θέλομεν γεμώσειν τὸ νησίν. Καὶ ἄλλα πολλὰ λογία, βουλὴν ἄπρεπην ἄπρακτους ἀνθρώπους ἀποῦ δὲν ἠξεῦραν τὸν κόσμον! Τότε ἔπεψεν κανισκία καὶ ἀντίλογον τοῦ υἱοῦ τοῦ σιέχη, καὶ ἐστράφην εἰς τὸν κύρην του πολλὰ πικραμένος.

Καὶ ἄνταν ἐπέσωσεν εἰς τὸν πατέραν του τὸν σιέχην, καὶ θωρῶντά τον πικραμένον, καὶ εἶπέν του πῶς δὲν τὸν ἀφῆκαν νὰ δῇ τὸν ρῆγα, πολλὰ ἔπληξεν, καὶ εἶπεν — ἐγὼ ἔθελα νἄχα πέψειν τὸν υἱόν μου τοῦ σουλτάνου διὰ δουλίαις ταῖς εἶχαν δικαῖς του, ἐγὼ ἐφάνην μου νὰ ποίσω φιλανθρωπίαν μὲ τὸν ρῆγα, καὶ τούτην τὴν τιμήν μοῦ ποῖκεν! τὸν ἀκριβόν μου υἱὸν δὲν τὸν ἔμπασεν ὀμπρός του! ἀκωλύτως τὸ θέλημαν τοῦ θεοῦ εἶναι, ὅτι νὰ μείνῃ εἰς τὴν ἀφεντίαν τοῦ ἀφέντη μου τοῦ σουλτάνου, διὰ τὴν σουπερπίαν τους!

Ἀκομὶ νὰ σᾶς δείξω καὶ τίντα θαῦμα ἐρογατίστην μίας γυναίκας περὶ τὴν Κύπρον ἀπὲ τὴν Ἀλεξάνδραν. Ἦτον μία χριστιανή, ἡ ποία εἶχεν ἕναν υἱὸν ιϛ' χρόνων ὀνόματι Γεώργιον, τοῦ ποίου ἐνέβην του μεγάλη ἀγάπη νὰ πάγῃ εἰς τὰ Ἱεροσόλυμα εἰς τὸν τάφον τοῦ Χριστοῦ, διὰ νὰ προσκυνήσῃ ὅ-

λην τὴν γῆν τοῦ Κυρίου, καὶ πάντα ἐλάλεν το τῆς μητέρας του, καὶ δὲν τὸν ἄφινεν διὰ τὸν φόβον τοὺς Σαρακηνούς, ἐλάλεν του — υἱέ μου, θωρεῖς πῶς εἶναι θυμωμένοι καὶ ἀγκαρωμμένοι οἱ Σαρακηνοὶ μετὰ τοὺς χριστιανούς, καὶ θέλεις νὰ παρπατῇς μεσόν τους ἀποὺ τόπον εἰς τόπον; Ὁ υἱός της ἦτον ἐνάρετος καὶ καλῆς ζωῆς, καὶ δὲν ἄλλαξεν ποτὲ τὸ θέλημάν του ἀπὸ ταῖς ἐντολαῖς τοῦ θεοῦ, καὶ δὲν ἔφευγεν τῆς ἀγάπης, ἀμμ' ἐπλημμέλα νὰ τελειώσῃ τὴν ἐπιθυμίαν του· μίαν τῶν ἡμερῶν εἶπεν τῆς μητέρας του — ἀγλυκεῖά μου μητέρα, παρακαλῶ σε νὰ μὲ ἀφήσῃς νὰ πάγω, καὶ ἂν ἦναι οἱ Σαρακηνοὶ μὲ τοὺς χριστιανοὺς ὀκτρεμένοι, ἰντά 'χομεν νὰ φτιάσωμεν ἐμεῖς, ὅπου εἴμεστεν δοῦλοι τοῦ θεοῦ, ὅπου πᾶμεν νὰ δουλεύσωμεν διὰ τὴν ψυχήν μας; Ἐβίασεν τὴν μητέραν του νύκταν καὶ μέραν, καὶ ἐκουντετίασεν νὰ πάγῃ μετά του, καὶ ἐπῆρεν τίποτε φαγούραν, καὶ ἐξέβησαν καὶ ἐπῆγαν τὴν στράταν τους. Καὶ ἐπερπατοῦσαν γ' ἡμέραις, καὶ εἰς τὴν στράταν ηὗραν μίαν ὄμορφην βρύσιν, καὶ εἶχεν ἕναν ὄμορφον δεντρόν, καὶ πολλὰ ἄρεσεν τοῦ παιδίου νὰ μείνῃ ἐκεῖ ν' ἀναπαυτοῦν, καὶ εἶπεν τῆς μητέρας του — μάνα, ἂς μείνωμεν εἰς τὸν ὄμορφον τόπον τοῦτον. Καὶ τὸ νὰ βάλλουν τὰ ῥοῦχά τους εἰς τὴν γῆν, δόξου ἕναν ὄφιν καὶ ἦρτεν τρεχάτον καὶ ἐνέβην εἰς τὸ δέντρον· ὁ παιδίος ἐφοβήθην καὶ εἶπεν τῆς μητέρας του — μητέρα, φοβοῦμαι, ὡς γίον νὰ κοιμηθοῦμεν μὲν κατεβῇ ὁ ὄφις καὶ ἀδικήσῃ μας. Καὶ ἡ μητέρα τοῦ εἶπεν — υἱέ μου, ὁ Κύριος ὁ τὰ πάντα γινώσκει, θωρεῖ ποῦ πηγαίνομεν καὶ θέλει πέψειν τὸν ἄγγελόν του τῆς εἰρήνης καὶ θέλει μᾶς φυλάξει. Καὶ ὁ παιδίος εἶχεν μετά του δοξάριν, καὶ πιάνει καὶ σύρνει μίαν σαγίτταν καὶ ἐσκοτῶσεν τὸ θηρίον. Καὶ ὅσον ἐκάτζεν ὁ παιδίος εἰς τὴν γῆν ἐπιάστην τὸ ἥμισόν του μέλος, καὶ ἡ μητέρα του ἔστρωσέν του καὶ ἔβαλέν τον νὰ κοιμηθῇ. Καὶ ἐνεπνιάστην καὶ εἶδεν ὅρομαν· καὶ εἶδεν γ' παιδίους στρατιώταις ὄμορφοι, κα-

βαλλάριδες, ὁ νεῖς τὸ ἄλογον ἄσπρον, ὁ δεύτερος μαῦρον, καὶ ὁ τρίτος βαδίον, καὶ λέγουν του — ὦ Γεώργιε! Καὶ εἶπέν τους — ὁρίσετε! Καὶ εἶπάν του — ἴντα πονεῖς; Καὶ εἶπέν τους — πιασμένος εἶμαι, διατὶ ἐσκότωσα εναν θηρίον. Καὶ εἶπάν του — μὲν φοβηθῇς! Ἀπεζεύγει, καὶ πιάνουν τον ὁ νεῖς ἀπὸ τὰ μαλλία, ὁ δεύτερος ἀπὸ τὰ χεργία, καὶ ὁ τρίτος ἀπὸ τὰ ποδία, καὶ ἐταυρίσαν τον, καὶ ὑγίανεν. Ὁ παιδίος ἀρώτησέν τους καὶ εἶπέν τους — ἀφένταις μου, πόθεν εἶστε, καὶ τίντα ἐργάζεσθε; Καὶ εἶπάν του — πεμπάμενοι εἰς τὴν βοήθειαν τοὺς Κυπρέους κατὰ πρόσωπα τῶν Σαρακηνῶν! Τότες ἐξύπνησεν καὶ εἶπεν τῆς μητέρας του — χάρου, ὅτι ἐγὼ ἐγίανα. Καὶ εἶπέν της τὸ ὅρομαν ἀποῦ εἶδεν, καὶ εὐχαρίστην τοῦ θεοῦ. Ἐμεῖναν εἰς τὸν αὐτὸν τόπον δύο μερόνυκτα, ἐννοιάζοντα μὴ καὶ δοῦν περίττον παρὰ ποῦ εἶδεν γιὰ τὴν Κύπρον· καὶ τὴν γ′ νύκταν θωρεῖ ὁ παιδίος ὁ Γεώργιος τοὺς αὐτοὺς στρατιώταις, καὶ — τοῦ θεοῦ θέλοντος, ἐρώτησέν τους, πῶς ἐστράφητε; Καὶ εἶπάν του — ὁ θεὸς ὥρισέν μας νὰ πᾶμεν ἀπὸ τὴν Κύπρον, ὅτι δὲν ὀρπίζουν εἰς τὸν θεόν, ἀμμὲ ὀρπίζουν εἰς τὰ ψεματινά τους ἅρματα, καὶ γιὰ τοῦτον πᾶμεν ἀπῶδε! Γροικῶντα τοῦτα τὰ λογία, ἐπῆρέν τους τὸ κλάμαν καὶ ἐλυπήθησαν πολλά, καὶ εἶπέν τα τῆς μητέρας του· καὶ ἐξέβησαν πικραμένοι ἀντάμα, καὶ ἐστράφησαν εἰς τὸν τόπον τους εἰς τὴν Ἀλεξάντραν, καὶ εἶπάν το πολλοὺς χριστιανοὺς εἰς τὸ κρυφόν.

Καὶ μετὰ τοῦτον ἐστράφην τὸ φουσάτον τοῦ σουλτάνου μὲ νίκος μὲ τοὺς Μαμαλούκιδες, καὶ ἐξηγήθησαν τὴν ἀταξίαν τοὺς Κυπριώταις, καὶ πῶς εἶναι ἄπρακτοι τῆς ἀντρίας· καὶ τότες ὥρισεν ὁ σουλτάνος καὶ ἐποῖκαν καὶ ἄλλα κάτεργα καὶ τζέρμαις. Καὶ εὑρέθησαν ἐκεῖ Γενουβίσοι μὲ τὸν Μπενὲτ Παραβιζὴν καὶ ἐφουσκόναν τὸν σουλτάνον, λαλῶντα — τίντα δύναμιν ἔχει ο ρήγας τῆς Κύπρου νὰ σὲ καταπροσωπίσῃ; Καὶ ἐφουσκῶσάν τον νὰ δυναμώσῃ τὴν μάχην, διὰ νὰ ξοδιάσῃ καὶ

νὰ πτωχύνῃ τὸν ῥῆγα, καὶ τότε νὰ μποῦν μεσόν τους νὰ τοὺς μερώσουν, ἀπὸ τὸν φόβον τους μηδὲν ἀπηδήσῃ τίποτες τῆς Ἀμμοχούστου. Ὁμοίως καὶ ὁ Μακαραμπὰκ ἦτον εἰς τὴν Ἀλεξάντραν ὁ ἀφέντης τῆς Ἀλαγείας μὲ δύο κάτεργα ἐδικά του, καὶ ἔσφιξεν τὸν σουλτάνον καὶ ἀνάγκαζέν τον νὰ πέψῃ τὴν ἀρμάδαν εἰς τὴν Κύπρον.

Καὶ τὸν ἰούνιον ͵αυκϛʹ Χριστοῦ ἔπεψεν ὁ σουλτάνος τὸν Τακριβὲρ τὸν Μεχαμὲτ μὲ ρνʹ ξύλα, τζέρμαις, καὶ κάτεργα, καὶ καραβία, μὲ φʹ Μαμουλούκιδες καὶ ͵βʹ χαρφούσιδες, καὶ χʹ ἀράπιδες, καὶ ἐπεσῶσαν εἰς τὴν Κύπρον εἰς τὴν αʹ ἰουλίου εἰς τὰ Ληνιδία εἰς τὸ πραστεῖον τῆς Αὐδίμου, καὶ τὸ νὰ πεζεύσουν ἐπολεμίζαν μὲ τὸ κάστρον τῆς Λεμεσοῦ τὸ ἔκτισεν ὁ ρὲ Τζενίους. Καὶ τὴν τρίτην ἡμέραν τοῦ αὐτοῦ μηνὸς ἰουλίου, καὶ ἐλθόντος τὸ μαντάτον εἰς τὸν ρὲ Τζενίον τὸ πῶς ἐπέσωσεν τὸ φουσάτον τοὺς Σαρακηνούς, ἐξέβην ἀπὸ τὴν Λευκοσίαν τῇ τρίτῃ, τῇ βʹ ἰουλίου ͵αυκϛʹ Χριστοῦ, καὶ ἐπεσώθην εἰς τὴν Ποταμίαν, ἐγδέχοντα βοήθειαν ἀπὸ τὴν Ρόδον, καὶ ἐκεῖ ἐγιομάτισεν.

Καὶ ἔπεψεν ἕναν γέρον Μαμουλούκην, ὅπου ἦτον χριστιανὸς καὶ ἀρνήθην τὸν Χριστόν, μαντατοφόρον εἰς τὸν ῥῆγα, καὶ πρὶν νἄρτῃ εἶπαν τοῦ ῥηγὸς πῶς ἐπῆραν τὴν Λεμεσόν. Καὶ πάλιν οἱ καβαλλαριδες δὲν τὸν ἀφίναν νὰ μπῇ ὀμπρός του ὁ μαντατοφόρος.

Καὶ ὁ ῥήγας νὰ ἐμποδίσῃ τὸ ἔλα τους, νὰ μὲν ἔρτουν ἀξάφνου ἀπάνω του, ἔπεψεν τὸν Τζὰκ Δαμπελονία νὰ πάρῃ ὅλον τὸ ἀπεζικον καὶ νὰ πάγῃ ὀμπρος. Καὶ διοτι μὲ ἔβαλεν ὁ ῥήγας εἰς τὸ κρασίν, καὶ ὥρισέ με καὶ ἐπῆγα μὲ τὴν συντροφίαν του εἰς τὰ κρασία, καὶ ἐπήγαμεν ὡς τὰ Πυρία, καὶ ἐκοιμήθημαν εἰς τοὺς κάμπους· καὶ ξημερονόντα τῆς παρασκευγῆς ἐσηκώθημαν καὶ ἐπήγαμεν εἰς τὴν Χεροκοιτίαν. Ἀληθινὰ εμπλάσαμεν τὴν πεφτην τοῦ Σφουτζᾶ, ο ποῖος εκκυχι-

στην καὶ ἐπίασεν καμπόσους Σαρακηνοὺς διὰ νὰ δώσῃ καρδίαν τοῦ λαοῦ· τάπισα ἐμπλάσα(με)ν ἑνοῦ τζακρατόρου ἀπὸ τοὺς ἄτυχους ὅπου ἦσαν εἰς τὴν Λεμεσόν, καὶ ἐξηγήθην μας τὸ πῶς τοὺς ἐπῆραν. Καὶ ἐπέψαν ἕναν μαντατοφόρον εἰς τὸν ρῆγα, καὶ ἔφερέν τον ὁ Φιλιμποῦς ἀπὸ τὴν ἄλλην στράταν, καὶ ἀπεκεῖ ἔρχετον ἕνας παιδίος μαντατοφόρος μὲ τὸν τζακράτορον τῆς Λεμεσοῦ· καὶ τὸ ν' ἀγροικήσῃ ὁ λαὸς πῶς ἐπῆραν οἱ Σαρακηνοὶ τὴν Λε(με)σόν, ἐπικράνθησαν πολλά.

Τὸ πωρνὸν τὴν παρασκευὴν εἰς τὰς ε' ἰουλίου ͵αυκϛ' Χριστοῦ ἦλθεν ὁ ρήγας μὲ ὅλον τὸ φουσάτον εἰς τὴν Χεροκοιτίαν, καὶ ἀπλικεῦσαν εἰς τὸν πύργον τῆς Χεροκοιτίας μὲ τοὺς καβαλλάριδες, καὶ οἱ προδέλοιποι ἐβάλαν τένταις, ἄλλοι ἐβάλαν σκοινία· καὶ ἦσαν ὅτοσα ἀπὸ μακρά, ὅτι ὅταν ἔθελεν ὁ πανιέρης νὰ ποίσῃ ὁρισμόν, διότι οὐδὲν εἶχαν τρουμπέττι, ἔβγαινεν ἀπὸ τὸ πωρνὸν καὶ ὡς τὸ μεσομέριν δὲν τοὺς ἐγύριζεν· καὶ ἂν ἔμελλε νὰ ὁρίσῃ ἄλλον ὁρισμὸν, ἔβγαινεν τὸ μεσομέριν καὶ δὲν τοὺς ἐγύριζεν ὡς τὴν νύκταν.

Οἱ Σαρακηνοὶ ἐγράψαν χαρτὶν καὶ ἐπέψαν τοῦ ρηγός, καὶ ἐπέψαν τού το μὲ ἕναν χωργιάτην, λαλῶντα οὕτως. «Ἐνάρετε ἀφέντη, ἐμεῖς ἤλθαμεν ὧδᾶ, καὶ ἐσοὺ ὡς γίον υἱὸς τοῦ ἀφέντη μας τοῦ σουλτάνου δὲν ἔπεψες τινὰν ἀπὸ τοὺς λᾶς σου νὰ μᾶς προσδεκτῇ τινὰς καὶ νὰ μᾶς 'ξοχνιάσῃ τίντα γυρεύγομε καὶ τίντα ζητοῦμεν· τώρα μηνοῦμέν σου νὰ βγῇς καὶ νὰ 'λθῃς πρὸς ἐμᾶς νὰ ποίσωμεν δῆμαν κηνουργίον καὶ στοιχήματα τῆς ἀγάπης, καὶ μὲ τοῦτον νὰ μὲν ἔχῃς τοὺς ἀζάπιδες καὶ ἑτέρους κουρσάρους μηδὲν μᾶς πλημμελέψουν, οὐδὲ νὰ τοὺς φιλοξενᾷς εἰς τὸ παγισίον σου, ἀμμὲ νὰ ἔχῃς τοὺς φίλους μας διὰ φίλους σου, καὶ τοὺς ἐχθρούς μας διὰ ἐχθρούς σου, ὡς γίον καλοὶ φίλοι καὶ γειτόνοι· καὶ ὁ ἀφέντης μας ὁ σουλτάνος ἔδωκέν μας τὸ πεῦκίν του, νὰ τὸ ἀπλώσωμεν ἀπουκάτω σου διὰ νὰ κάτζῃς· καὶ ὄνταν νάρτῃς θέλομεν συντύχειν ἀντάμα καὶ θέλεις κρα-

τηθῆν εὐχαρισμένος, καὶ μεῖς θέλομέν σε ἀφήσειν καὶ θέλομεν στραφῆν εἰς τὸν ἀφέντην μας· καὶ ἤξευρε, ἂν δὲν ἔρτῃς εἰς αὐτόν μας, θέλομεν ἔρτειν ἐμεῖς εἰς αὐτόν σου· καὶ ἂς ἦσαι θαρρούμενος, δὲν θέλει διαβῆν ἡ Κερική, καὶ θέλομεν ἐσμικτῆν ἀντάμα». Καὶ ἄνταν ἐδιαβάζαν τὸ χαρτίν, ἀνεγελοῦσάν τους, διατὶ δὲν τοὺς ἄρεσεν ὁ ὄρδινος τοῦ χαρτίου· καὶ ἄλλοι ἐκοκκίζαν καὶ λαλοῦσαν — κομπόνου μας, καὶ πλανοῦ μας! Καὶ ἐπίασαν τὸν μαντατοφόρον τὸν ἔπεψεν ὁ Πικένης καὶ ἐκριτηρεῦγάν τον, καὶ ὁτόσα τὸν ἐπλημμελέψαν ὅτι ἔδωκάν του θάνατον ἄδικα καὶ ἄπιστα, τὸ ποῖον δὲν ἐποῖκαν μαντατοφόρον. Ὁμοίως ἀλλῶναν μαντατοφόρον τὸν εἶχεν πιάσειν ὁ σὶρ Τουμᾶς Προβόστου, καὶ ἐβάλαν τον εἰς τὸν πύργον τῆς τζαρδαχανᾶς καὶ ἐβλέπαν τον εἰς τὴν Λευκοσίαν. Καὶ σκλάβους Σαρακηνοὺς βαπτισμένους ὅπου ἦσαν εἰς τὴν Λευκοσίαν, ἔσφιξέν τους νὰ μὴ πᾶσιν μὲ τοὺς Σαρακηνούς· καὶ ἄπρακτα ἐπολομοῦσαν, ὅτι πολλοὶ ἦσαν Σαρακηνοὶ βαπτισμένοι ἀποῦ φύγαν καὶ ἐχώστησαν εἰς τὰ ὄρη νὰ μὲν τοὺς πιάσουν οἱ Σαρ(α)κηνοί· ἀπὲ τοὺς ὁποίους ἦτον ὁ Τζοτζῆ τὲ Ταμαθιάνη ὅπου ἔψηνεν τὸ παροῦτιν καὶ ἐπολόμαν κόλλαν, καὶ ἔψηνεν τὸν ζάχαρην· ὁμοίως ὁ Θεοτοκὶς τοῦ ρηγὸς ὁ κτίστης, καὶ ὁ Νικολῆς τοῦ Λουτράρη, ὁ Μίκελλος ὁ Ταλιούρης, ὁ Σιργιάνος ἐλεύθερος, ὁ σκλάβος ὁ Παῦλος τοῦ ἐπισκόπου, ὁ σκλάβος τοῦ μοναστηρίου τοῦ Μαχαιρᾶ, καὶ ὁ σκλάβος ὁ Σταυρίας τοῦ Σταυροῦ τοῦ μεγάλου, καὶ ἕτεροι πολλοί, ὅπου ἐπροθυμοῦσαν ν' ἀπεθάνουν παρὰ νὰ δοθοῦν εἰς τὰ χερία τοὺς Σαρακηνούς. Ἀμμέ, ὡς ἐθέλησεν ὁ θεὸς νὰ σηκώσῃ τὸν νοῦν ἀποὺ τοὺς ἀβιτζιάλιδες καὶ τοὺς συνβουλάτορους, ὅλα ἐποῖκάν τα ἀξηνάστροφα, ἤτζου ἐποῖκαν καὶ μὲ ταῖς ψυχαῖς τοὺς πτωχούς, τῶν πτωχῶν τῶν μαντατοφόρων καὶ ἄλλους πτωχοὺς βαπτισμένους.

Τώρ' ἂς στραφοῦμεν εἰς τὸν ρῆγα καὶ εἰς τὸ φουσάτον του ὅπου ἀπλικέψαν εἰς τὴν Χεροκοιτίαν. Ἠξεύρετε τὸ πῶς ἡ

βίγλαις μας ἦλθαν τὸ σάββατον εἰς τὰς ς' ἰουλίου, ᾳυκς', καὶ ἐφέραν μαντάτον πῶς οἱ Σαρακηνοὶ 'δηγοῦνταν ν' ἀπηδήσουν τοῦ φουσατοῦ μας· τότ' ἐμήνυσεν ὅλους τοὺς λᾶς νἄρτουν νὰ κοιμηθοῦν τριγύρου τοῦ πύργου, καὶ ἤτζου ἐγίνετον. Καὶ τὸ μεσανυκτικὸν ἐγίνην σημάδιν· ἕναν ἄστρο μέγαν ἐστάθην εἰς τὸν οὐρανὸν καὶ ἔπεσεν ἀπάνω τοῦ πύργου, καὶ οἱ λᾶς ἐτρομάξαν καὶ εἶπαν — θεέ, τοῦτον τὸ σημάδιν νὰ πέσῃ ἀπάνω τοῦ πρίντζη, καὶ ὄχι εἰς τὸν ἀφέντην μας τὸν ρῆγα! Καὶ ὅλην τὴν νύκταν ἀγρυπνοῦσαν, διὰ νὰ βλέπουν τὸν ρῆγα. Καὶ τὸ κρασὶν ἔλειψεν, δὲν εἶχεν παρὰ δ' γομαρία· ὁ ρήγας ἀγγρίστην μὲ τὸν 'Αποδοχάτορον, διατὶ δὲν ἐκουβάλισεν κρασία.

Καὶ ἄνταν ἐξημέρωσεν ἡ εὐλογημένη Κυριακὴ εἰς τὰς ζ' ἰουλίου ᾳυκς' ἦλθεν ὁ λαὸς νὰ πάρῃ κράσιν· ὁ μισὲρ Πατὶ τὲ Νόρες ὁ μαριτζᾶς τῶν 'Ιεροσολύμων ὥρισέν με τὸν Λεόντιον τοῦ Μαχαίρα, νὰ μὲν δώσω τινὸς κρασὶν τοπικοῦ ὅσο που νὰ φέρουν· οἱ λᾶς ἐδυναστεῦγαν νὰ τοὺς δώσουν, τόσουν ἦτον, ὅτι ἔδραξεν ἕναν γομάριν, ἄλλοι ἕναν ἀσκίν, ἄλλοι ἐδράξαν δαμαλία καὶ σφακτά, καὶ γίνην μάλλωμαν καὶ ταραχὴ μεγάλη ὀμπρὸς εἰς τὸν πύργον ὅπου ἦτον τὸ κελλάριν. Θεωρῶντα ὁ αὐτὸς μισὲρ Πατὶ τὲ Νόρες τὴν δυναστείαν τὴν ἐποῖκαν καὶ ἐκατακουρσέψαν τὸ κρασίν, ἐκατέβην ἀπὸ τὴν σκάλαν τοῦ πύργου, καὶ ἐβρούθησεν τὸν λαὸν τόσον, ὅτι ἕνας παιδίος ὀνόματι Χαρίους Σκαραμᾶς καὶ εἶπέν του — ἀφέντη, δέρνεις μας καὶ διώχνεις μας! ποῦ νὰ πᾶμεν ναὕ(ρ)ωμεν νὰ πιοῦμεν, διὰ νὰ σμικτοῦμεν μὲ τοὺς ὀκτρούς μας! 'Ο αὐτὸς μαριτζᾶς ἐθυμώθην καὶ ἔδωκέν του κατὰ κέφαλα, καὶ ἀπὸ τὸν κόρπον ἔμπεσεν τὸ τζαμπεροῦνιν τοῦ αὐτοῦ Χαρίου. Ἄλλοι ἐπῆγαν εἰς τὸ ἁλῶνιν, καὶ ἐπῆραν δεματία σιταρένα καὶ ἐπαραταγίσαν τ' ἄλογά τους, καὶ ἐφάγαν καὶ ἐγεμῶσαν ταῖς κοιλιαῖς τους ὡς γίον τοὺς χοίρους.

Καὶ ἄνταν ἐπόφαγεν ὁ ρήγας, ἦρταν κἄτινες ὅπου ἐφέραν

μαντάτον τοῦ ῥηγὸς τὸ ἕλα τοὺς Σαρακηνούς· καὶ ἔβαλλεν μίαν τζαλλάδαν εἰς τὴν κεφαλήν του ὁ ῥήγας καὶ ἐκατέβη νὰ καβαλλικεύσῃ, καὶ δὲν εὑρέθην ὁ Σιστρὸς Γρελλιὸς ὅπου νὰ πιάσῃ τὸν κουφανόν, καὶ εἶδεν τὸν Περρῆν τὸν Δαβὶδ τὸν Φαβᾶ, ἔρισεν καὶ ἐπίασεν τὸν κουφανὸν καὶ ἐπῆγεν ἔμπροσθεν τοῦ ῥηγός, καὶ μοναῦτα ἀνάφανεν ὁ Σίστρου καὶ ἔδωκεν τὸν κουφανόν. Καὶ ἐμήνυσεν ὁ ῥήγας μὲ τὸν πανιέρην του, ὅλοι ν' ἀρματωθοῦν, καὶ ἦτον ἀναμέσον 'νοῦ παιδίου, καὶ ὥρισεν τὸν λαὸν τὸν ἀπεζικὸν νὰ πιάσουν τ' ἅρματά τους καὶ νὰ τὰ βάλλῃ ὁ εἷς κοντὰ τοῦ ἄλλου νὰ ποίσουν ὡς γίον τοιχόν. Καὶ ὡρδινίασαν ρ' παφεζία μεγάλα. Δόξου καὶ ἀναφάναν ἀπὸ τοὺς λᾶς τοὺς ὀμπρὸς τῆς βίγλας κορπωμένοι ἀποὺ τοὺς Σαρακηνούς, ὁ ποῖος ἦτον ὁ Σκαρμούτζας καὶ ὁ Κωσταντῆς τοῦ Παπᾶ, ὁ ἀδελφὸς τοῦ Τερλιβοῦ τοῦ ἐπισκόπου τοὺς 'Αρμένιδες, καὶ ὅσον ἦλθεν ἐπέθανεν· καὶ ἀπὸ τὸ φουσάτον μας ιβ' ἐπιάσαν ἕναν Σαρακηνόν, καὶ ἀπὸ ξαὐτόν τους ἐσκοτῶσαν δικούς μας γ', ὁ νεῖς ἦτον ὁ Δημήτρης ὁ Λακκᾶς, καὶ ἑτέρους δύο, καὶ ἐφέραν τον εἰς τὴν Τόγνην. Ὁ ῥήγας ἀφῆκεν τὴν τένταν καὶ ἐπῆγεν ὀμπρὸς καὶ δὲν ηὗρεν τινάν· ἔβαλεν σκάρδαις ἀνὰ ρ', καὶ ἀνὰ ν', διὰ νὰ σμικτοῦν εἰς τὸν πόλεμον· τοῦτον ἐγίνην διὰ τὴν ὑποταγὴν τοῦ λαοῦ, ὅτι ὁ καλὸς ἀφέντης ἔβαλεν καπετάνον τὸν σὶρ Τζουὰν τὲ Βερνῆ ἀπάνω εἰς ἕναν μερτικόν, καὶ οἱ λᾶς ἐφοβοῦντάν τον καὶ ἐλαλοῦσαν — ἐμεῖς θέλομεν νὰ ἤμεσθεν εἰς τὸν ὁρισμὸν τοῦ ἀφέντη μας τοῦ ῥηγός, ὄχι τοῦτον! Καὶ ἤτζου καὶ οἱ ἄλλοι, καὶ δὲν ἐθέλαν νὰ τοὺς ὑποτακτοῦν ἄλλου παρὰ τοῦ ῥηγός, διατὶ ἦτον μοναχός.

Οἱ Σαρακηνοὶ ἔρχουνταν πόδιν, πόδιν, καὶ ἐπέψαν καὶ ἐπερικυκλῶσαν τὸ φουσάτον μας ἀπὲ τ' ἀνατολικὰ μέρη· καὶ οἱ Ἀρμένιδες καὶ ἐλεύθεροι καὶ ἐπῆγαν εἰς ἕναν πλευρὸν καὶ ἐκδέχουνταν τοὺς Σαρακηνούς. Ὁ ῥήγας ἔστεκεν ἰχία μέσα τοῦ φουσάτου, καὶ ὁ πρίντζης δεξιά του, καὶ ὁ σὶρ Τζουὰν τὲ Γρι-

νιὲρ καὶ ὁ σὶρ Πὰτ τὲ Νόρες καὶ ὅλον τὸ φουσάτον ὡς τοῖχον. Καὶ τότες ἀναφάναν οἱ Σαρακηνοὶ εἰς τὴν κορυφὴν τοῦ βουναρίου κατὰ πρόσωπα τοῦ κάμπου· καὶ τὸ νὰ δοῦν οἱ Συριάνοι καὶ τὸ δελοιπὸν ἀπεζικόν, ἐβάλασιν μίαν μεγάλην φωνὴν καὶ φοβερήν, καὶ ἀκτυπῆσαν τὰ ταγπουλλία τους, ὁμοίως καὶ οἱ Σαρακηνοί. Τότες ἀρεστίασεν ὁ ρήγας τὸ σπαθίν του, καὶ ὅλον τὸ φουσάτον, καὶ ἦλθαν ἀπάνω τους καὶ ἐπλάστισαν εἰς τὴν κορυφὴν τοῦ αὐτοῦ βουναρίου· καὶ ἐσκοτῶσαν πολλοὺς Σαρακηνούς, καὶ οἱ Σαρακηνοὶ ἐποίκασιν στρέμμα, καὶ ὁ ρήγας ἐστράφην πρὸς ὧδε. Καὶ ἕνας παιδίος Τοῦρκος, τὸν ἐκράτεν ὁ Τοῦρκος (γρ. ρήγας) εἰς τὸ μηνίον του εἶπέν του — ἀφέντη, ἂς στραφοῦμεν ἀπάνω τους ἄλλη μίαν φορὰν νὰ τοὺς τζακίσωμεν, ὅτι τὸ τρουμπέττιν ἔπαιξεν στρέμμαν. Καὶ πλεῖον κανένας δὲν ἐστράφην, καὶ τὸ ἀπεζικὸν ἀφῆκαν τὰ παφεζία καὶ τ' ἄρματά τους. Καὶ ἕνας ἄνθρωπος τῶν ἁρμάτων ἀπάνω εἰς τὸ ἄλογον εἶδεν τὸν υἱὸν τοῦ Τακᾶ καὶ δὲν τὸν ἀγρώνιζεν, καὶ φάνην του καὶ εἶναι Σαρακηνός, καὶ ἔδωκέν του μὲ τὸ σκουτάριν του, καὶ μὲ τὸ σπαθὶν ἐπέρασέν τον ἀπὲ τὴν μίαν μερίαν ὡς τὴν ἄλλην, καὶ ἀπόθανεν. Καὶ ἐποῖκεν νίκος ὁ Τζανὸτ ὁ Καστρεσίος, καὶ ὁ Τζόρτζες, καὶ ὁ Πραχίμης, καὶ ὁ Νικόλας Τζαντελιέρ. Καὶ τίποτες δὲν ἐκέρδαισεν, ὅτι τὸ φουσάτον ἔφευγεν.

Οἱ Σαρακηνοὶ ἐννοιάστησαν καὶ ὁ ρήγας εἶχεν ἔγκρυμμαν εἰς τὸν πύργον τῆς Χεροκοιτίας, καὶ δείχνουσι πῶς φεύγουν διὰ νὰ τοὺς τρέξωμεν, καὶ νὰ διαβοῦμεν τὸν πύργον, καὶ τότες νὰ μᾶς ἀπηδήσουν ἐκεῖνοι ἀποὺ 'μπρὸς καὶ τοῦτοι ἀποὺ πίσω καὶ νὰ μᾶς σκοτώσουν. Καὶ παρακαλοῦν τὸν θεὸν οἱ Σαρακηνοὶ νὰ ξαποστείλη τινὰν νὰ τοὺς ποίσουν ἀγάπην, καὶ ἡ τύχη δὲν ἔθελεν· καὶ ἀπὸ τὸν φόβον τους ἔρκουνταν πόδιν, καὶ εὑρίσκασιν τοὺς ἀνθρώπους ἀποσταμένους ἀπὸ τ' ἄρματα καὶ ἀπὸ τὴν πυράν, καὶ οἱ Σαρακηνοὶ δὲν τοὺς ἐσκοτόναν.

Ὁ ρήγας ἐπηγαῖνεν τὴν στράταν, καὶ τὸ ἄλογόν του ἐ-

σκοντήλισεν β', γ' φοραῖς, ὅσ' ὥςπου καὶ ἔμπλασεν μίας καμήλας εἰς τὴν στράτα, καὶ πάντα ἔρκετον τὴ στράταν, καὶ τὸ ἀλόγον δὲν ἠμπόρησε νὰ διαβῆ· καὶ ἀπέζευσεν ὁ ρήγας, καὶ ἐπῆρεν τὸ ἀλόγον τὸ καβαλλίκευγεν ὁ Ἀντώνη Μαρρῆς. Καὶ οἱ Σαρακηνοὶ ἦλθαν ὀμπρὸς εἰς τὴν πόρταν τοῦ ἀπλικίου τῆς Χεροκοιτίας, καὶ ηὗραν τὸν Σαρακηνὸν τὸν μαντατοφόρον τὸν ἐσκότωσεν ὁ πρίντζης εἰς τὸ κριτήριον καὶ ἔβαλλεν νὰ τὸν κάψουν, καὶ ηὗραν τὸ ἀπλίκιν εὔκαιρον· καὶ ἐθυμώθησαν, καὶ ἐφτάσαν τὸν πρίντζην καὶ ἐσκοτῶσάν τον, καὶ ἐκοντοφτάσαν καὶ τὸν ρῆγα· καὶ ἐβάλασιν β' μαμουλούκιδες τὰ κοντάριά τους καὶ ἐκατέβησαν ἀπάνω του, καὶ ὁ νεῖς ἔδωκέν του μίαν κονταρίαν εἰς τὸ πρόσωπον, καὶ διαφεντεύτην, καὶ ἔβαλεν φωνὴν ὁ ρήγας ἀράπικα — Μελέκ! ὃ λέγεται, ρήγας. Καὶ ὁ ἄλλος Σαρακηνὸς ἐξέβηκεν εὔκαιρος· ὡς γίον μοῦ τὸ εἶπεν ὁ κοντοσταύλης τῆς Κύπρου. Καὶ ἐπήρασιν καὶ ἕναν Κατελάνον, ὀνόματι Καρσερὰ Σουάρ, καὶ ἕναν πτωχὸν μαργαζάνην ὀνόματι Κολὴν καὶ ἐγροῖκαν τὴν γλῶσσαν ἀράπικα. Τἄπισα ἐστράφησαν ὀπίσω καὶ ὅσους ηὗραν ἀποσταμένους ἐσκοτῶσάν τους, καὶ τοὺς ὀμπρὸς ἐδιαβάσαν τους εἰς τὸ σπαθίν. Τὸ λοιπονὶν εὑρέθην ἕνας Σαρακηνὸς μαμαλοῦκος, καὶ ἕνας παιδίος καβαλλάρης ἔβαλλέν τον δεύτερον εἰς τὴν γῆν, καὶ πάλιν ἐκαβαλλίκευγεν, καὶ φοβήθην τον καὶ ἔφυγεν.

Τὸ λοιπονὶν τὸν ρῆγα, ὅσον ἐγροίκησαν καὶ εἶπεν πῶς εἶναι ὁ ρήγας, ἐπιάσαν τον, διότι πολὺν φουσάτον μετά του δὲν εἶχεν, καὶ ἐπῆράν τον εἰς τὴν Ἁλικήν. Καὶ κείνην τὴν ἡμέραν, πρὶν νὰ νυκτώσῃ ἐφέραν τὰ μαντάτα τοῦ γαρδενάλε εἰς τὴν Λευκοσίαν.

Νὰ σᾶς εἰπῶ καὶ ἀπὸ τοὺς λᾶς ἀποῦ ἐσκοτῶσαν εἰς τὸν κάμπον, οἱ ποῖγοι ἦτον κ', ὁποῦ ὁ θεὸς νὰ τοὺς ἀναπαύσῃ. Πρῶτον ἐσκοτῶσαν τὸν πρίντζην τῆς μεγάλης Ἀντιόχειας τὸν ἀδελφὸν τοῦ ρηγός, τὸν σὶρ Φερμοῦν Παπί, τὸν Καρᾶς τὲ Μουν-

τολήφ, τὸν σὶρ Μπερτελεμὲ δὲ Νεβερία, τὸν σὶρ Μαρτὶ Βιλερμπά, καὶ τὸν σίρε Τζακὲ δὲ Κιβέντες καβαλλάρην τοῦ πρίντζη, καὶ ὀκτὼ καβαλλάριδες Ἀλαμάνους, ὁμοίως καὶ τὸν Τζανὸτ Προβόστου τὸν υἱὸν τοῦ σὶρ Τουμᾶς, καὶ τὸν Τουμασὶν τὲ Λαγριδία τὸν τζηβιτάνον τῆς Σίβουρης, τὸν Τζανὸτ τ' Ἄκρε βαχλιώτην τοῦ ρηγός, τὸν Σιστρὸ Γκιλλίον τὸν Γενουβίσον βαχλιώτην τοῦ ρηγός, ὁ κύρης Τουματζέλλη τοῦ Παραδίσου, τὸν Νικολῆν Τζαντιλιέρ, βαχλιώτης τοῦ ρηγός, τὸν Τζανὸν τὸν υἱὸν τοῦ Τορία τοῦ Καστρισίου, καὶ τὸν Τζανὸν τὲ Ραμεφόρτ, τὸν υἱὸν τοῦ Ἀμαρὶ Γκαλλιάρτ καντζηλιέρης τοῦ ρηγός, τὸν Χαργιοῦν Σκαραμᾶς ἄνθρωπος τῶν ἁρμάτων καὶ Γενουβίσος τὸ γένος, τὸν Νικολὴν τ' Ἄκρες ἄνθρωπος τῶν ἁρμάτων. Καὶ ἀπὸ τὸ κοινὸν τοῦ λαοῦ, τουτέστιν ποπλάνους, τὸν σὶρ Τεμὲ τὸν Μακτασίπην, τὸν Νικόλαν τὸν Πριμικύρην τὸν μυροψίον, τὸν Τζορτζοῦν τὸν Τζαγγάρην, τὸν μάστρε Πραχίμην πραματευτής, τὸν Ἀντώνην τὸν Τζαγγάρην, Σαρακηνὸς βαπτισμένος, τὸν σιργέντην τὸν Ἀμιραλλίνον, τὸν Σάλαχαν, τὸν Φακελάτον, τὸν Νικόλαν τὸν μάγειρον, τὸν ἀδελφὸν τοῦ Γιάννη, καὶ πολλοὺς ἄλλους Συργιάνους, Ἀρμένιδες, ἐλεύθερους καὶ ξενικούς, καὶ πολλοὺς Μωραΐταις· καὶ λουσιέριδες, τὸν Νικολὴν Γκαλιάρδον, τὸν Τζορτζὴν τὸν σκοινοπλόκον μονόφθαλμον, τὸν Νικολὸν Σαφήνη μαργαζάνην, καὶ τὸν Τουμασὴν τὸν Πουστροῦν τον ράφτην, καὶ λουσιέριδες.

Ἀκομὴ νὰ σᾶς δείξω τίντα δύναμιν εἶχεν ὁ ρήγας τῆς θαλάσσου, καὶ δὲν ἐφτάσαν εἰς τὴν Λεμεσὸν εἰς τὸν πρεπάμενον καιρόν· κάτεργα ρηγάτικα ζ', β' τῆς Ρόδου, β' Κατελάνικα, τὸ ἕναν τοῦ σὶρ Ἐμπαλὸ καὶ τὸ ἕτερον τοῦ σὶρ Τζουάνη Φλεντζέρ, καὶ τὸ ἕτερον τοῦ φρὲ Ρεκάντου, καὶ μία γαλιάτζα τοῦ Ματαίου Κόστα τοῦ Κουτζουμούττα, καὶ γ' καραβία, τουτέστιν τὸ ἕναν τοῦ σὶρ Τζόρτζε τὲ Καμπερέν, τὸ β' τοῦ Κοτζιλίου, τὸ γ' τοῦ Φρὰ Πριγόμαν, τὸ δ' τοῦ Καρσεμίαν Το-

ναμάτ, καὶ ἕναν ῥηγάτικον, καὶ δύο μικραῖς. Καὶ ἂν εἶχαν ἀναφάνειν προτήτερα ἀπάνω τοὺς Σαρακηνοὺς, δὲν ἐγινίσκετον τὸ κακὸν καὶ ἡ ζημία ἀποῦ γίνην. Ἀμμὲ ἀφὸν ἐπῆραν τὸν ῥῆγα ἀναφάναν εἰς τὴν Ἁλικὴν, καὶ θωρῶντά τα οἱ Σαρακηνοὶ ἐφοβήθησαν· καὶ ἐποῖκαν τὸν ῥῆγα οἱ Σαρακηνοὶ καὶ ἔγραψέν τους χαρτὶν νὰ στραφοῦσιν, καὶ ἠδειλιάσαν καὶ ἐστράφησαν, καὶ ἐπῆραν τὸ μηνίον τοῦ ῥηγὸς ἄδικα.

Καὶ ἄνταν ἔμαθεν ὁ κύρης ὁ γαρδενάλης τὰ κακὰ μαντάτα, παραῦτα τὴν νύκταν ἐσήκωσεν ἀπὸ τὰ ῥηγάτικα πράγματα ὅσα ἐμπόρησεν μὲ τὸν Σηνεστιὲλ Σπινόλα καὶ ἔπεψέν τα εἰς τὴν Κερινίαν, καὶ ἔβαλεν βλεπατόρους εἰς ταῖς πόρταις τῆς χώρας, μηδὲν ἀναφανοῦσιν οἱ Σαρακηνοί· καὶ καλὰ αὐγὴν ἐπῆρεν τὸν πρίντζην τῆς Ἀντιοχείας τὸν υἱὸν τοῦ ῥηγὸς τὸν Ἰωάννην, καὶ τὴν ἀδελφήν του τὴν κυρὰν τὴν Ἄνναν, καὶ τὴν κυρὰν τὴν Ἀννὲς τὴν ἀδελφήν του, ὁ γαρδενάλης καὶ ὅσους ἠμπόρησεν καὶ ἐπῆγεν εἰς τὴν Κερινίαν.

Οἱ Σαρακηνοὶ ἐπῆραν τὸν ῥῆγα καὶ ἐπῆγαν εἰς τὴν Ἁλικήν· καὶ ἀνάφανεν ἡ ἀρμάδα τοῦ ῥηγός, καὶ ὀμπρὸς δύο καραβία πηληγρίνικα ὅπου πήγαιναν νὰ προσκυνήσουν, καὶ ἀρχέψαν νὰ συντυχάνουν ποῖον ξύλον νὰ πάγῃ ὀμπρός· καὶ οἱ πτωχοὶ οἱ πηληγρίνοι ἐποῖκαν ἄρμενα καὶ ἔδωκαν μέσον τοὺς Σαρακηνοὺς, καὶ τινὰς ἄλλος δὲν τοὺς ἀκλούθησεν· καὶ ἐπιάσαν τους οἱ Σαρακηνοί, καὶ τοὺς μὲν ἐσκοτῶσαν, τοὺς δὲ ἐπῆραν σιδερωμένους. Καὶ διὰ ὁρισμὸν τοῦ ῥηγός, ὡς γίον σᾶς τὸ εἴπουν, ἐστράφησαν.

Οἱ Σαρακηνοὶ καὶ ἐκουρσεῦσαν τὸ νησὶν καὶ ἀνθρώπους, καὶ κτηνὰ καὶ πράματα, καὶ ἐπῆραν εἰς τὰ ξύλα. Τὰ κάτεργα τὰ ῥηγάτικα ἐστράφησαν εἰς τὴν Κερινίαν.

Τὰ σημαδία δὲν λαλοῦν ψέματα, διατὶ ἐκεῖνοι ἀποῦ τὰ δοκιμάζουν ἀγρωνίζουν πῶς εἶναι ἀληθεία· οἱ σκύλλοι ἐγουριάζαν ἀπὸ καιροῦ, οἱ κωρῶναις ἐγουργιάζαν, ἡ κουκουφάδες εἰς

τὴν αὐλὴν καὶ εἰς τὰ τειχόκαστρα ἐγουργιάζαν, ὥς που καὶ ἐπῆραν τὸν ῥῆγα. Ὁμοίως τὴν αὐτὴν κυριακὴν ἐγίνετον μία καταχνία, ὅτι πάντες ἐχάθην ὁ κόσμος.

Καὶ οἱ Σαρακηνοὶ ἐβγάλαν τοὺς πηληγρίνους εἰς τὴν γῆν, καὶ ἐκρατοῦσάν τους ἀπῶδε καὶ ἀπεκεῖ, καὶ ἀκτυποῦσάν τους μὲς ταῖς βιζάκαις ὀμπρὸς τοῦ ῥηγός, ὥς που καὶ ἐσκοτῶσάν τους ὅλους· καὶ τοῦτον ἐποῖκάν το διὰ νὰ πάρουν ἀπλαζίριν ὅλην τὴν δευτέραν.

Τότες ἦρτεν τὸ φουσάτον διὰ νὰ ἔρτῃ εἰς τὴν Λευκοσίαν, καὶ ἐδώκασιν τοῦ ῥηγὸς εἰς τὰ κάτεργα. Καὶ ὡς γίον ἔρκουνταν ἀπὸ τὴν Ποταμίαν ἐκάψαν τὸ ἀπλίκιν τῆς Ποταμίας καὶ ὅλον τὸ χωργίον· καὶ ὄνταν ἦρταν εἰς τὴν Ἁγίαν Μαρίναν τοῦ Κόννου, δὲν ἐτορμίσαν νὰ μποῦν ἔσω εἰς τὴν Λευκοσίαν, θωρῶντά την τόσον μεγάλην. Ἐφοβήθησαν οἱ Βενετίκοι, ὀνοματίαις μυρίων καὶ οὗλοι ἐπῆγαν εἰς τὴν Κερινίαν, καὶ ἀφῆκεν κουβερνούρην τὸν Στάθην Πουρελλῆ, καὶ ἐπῆγαν οἱ Βενετίκοι καὶ ἄλλοι πολλοὶ καλὰ ᾳ᾽ ψυχαῖς εἰς τὸ ἀπλίκιν τοῦ παλίου μὲ τὸ ἀσημοχρούσαφόν τους· τὸ ποῖον ἀπλίκιν ἦτον τοῦ μαριτζᾶ τῆς Κύπρου· καὶ τοῦτον ἐπῆγαν μὲ θάρρος, διατὶ οἱ Σαρακηνοὶ εἶχαν ἀγάπην μὲ τοὺς Βενετίκους· ἀμμὲ — ουά, τὸ ᾽μάτιν τὸ ψιλὸν τὸ καταπιάσει ὁ κάτος!

Θεωρῶντα οἱ Βενετίκοι πῶς ἦρταν οἱ Σαρακηνοὶ εἰς τὴν Λευκοσίαν καὶ δὲν ἐτορμοῦσαν νὰ μποῦν ἔσω εἰς τὴν χώραν, ἐπῆγεν ὁ σὶρ Γιουσὲρ Ἀουτὰτ καὶ ὁ ἀδελφός του ὁ σὶρ Πέχνας, καὶ ὁ σὶρ Ἀμποῦς Ἀουτὰτ καὶ ὁ σὶρ Χίμης, καὶ οὗλα τ᾽ ἀδελφία, καὶ ὁ σὶρ Πατὶ Γουνέμε, καὶ ἄψα λαμπάδες καὶ ἐπροσδέκτησάν τους, καὶ ἐδῶκάν τους καρδίαν καὶ ἐμπῆκαν εἰς τὴν θαυμαστὴν Λευκοσίαν. Τότες ἔρχουνταν καὶ ἐζητοῦσαν ἐφφίκια, ὁ μισὲρ Τζουὰν Φλάτρος γραμματικὸς τοὺς λογαριασμοὺς τῶν ἐμπαλίων, καὶ ἔδειξέν τους καὶ τὰ σοδία τῆς ῥηγάδας. Καὶ τότες ἐδιαλαλῆσαν πᾶσα ἄνθρωπος νὰ ἔρτῃ ἔσω του

νὰ πολομᾶ ταῖς δουλιαῖς του· ἄλλους ἐδώκασιν σαγίτταις σημάδιν, νὰ μὲν ἔχουν φόβον· καὶ ὅλα ἦσαν ψέματα. Τότες ἐφθόνησεν ὁ Μανόλης ὁ Ἀσκᾶς καὶ εἶπεν τοὺς Σαρακηνοὺς καὶ ἐγράψαν χαρτὶν καὶ ἐπέψαν το τοῦ Στασὶ τοῦ Γούλου ὑπὸ χειρὸς τοῦ σὶρ Πατὶν (Γο)νέμε, καὶ ἐκομπῶσάν τον καὶ ἦλθεν ἀπὸ τὸν ἅγιον Νούφρην ἀπὸ τ' ἀμπελία του, καὶ ἦρτεν διὰ νὰ δείξῃ τὰ σοδία τῆς ρηγάδας, καὶ διὰ νὰ τὸν ποίσουν πράκτορον. Καὶ τὸ νὰ ἰδῇ ἡ ἀρμάδα τοὺς Σαρακηνούς, τὸ πῶς ἦλθαν τὰ ξύλα τοῦ ρηγὸς ἀφὸν τὰ ἀπολογιάσαν, ἀπὸ τὸν φόβον τους ἐμηνύσαν τοῦ φουσάτου νὰ στραφοῦν μοναῦτα· καὶ διὰ τοῦτον ἐγλύτωσεν ἡ Λευκοσία καὶ δὲν τὴν ἐκάψαν. Τότες ἐπῆγαν εἰς τὸ σπίτιν τοῦ παλίου, καὶ ηὗραν ὅτοσαις ψυχαῖς καὶ τόσον λογάριν, ὅτι ἐχορτάσαν καὶ ἐκουρσέψαν τα: καὶ ἐβάλαν λαμπρὸν εἰς τὴν πανθαύμαστην αὐλὴν τοῦ ρηγός, καὶ ὀπίσω τοῦ φούντικος, καὶ ἐπῆράν τα καὶ ἐπήγασιν.

Καὶ τὴν παρασκευγὴν ἐκατακουρσεῦσαν τὰ σπιτία, καὶ τοὺς ναοὺς τοῦ θεοῦ καὶ μοναστηρία, καὶ ἐπῆραν πολὺν βίον καὶ τοὺς χριστιανούς, καὶ ἐκουρσεῦσαν τὸν Σταυρὸν τὸν Μέγαν· καὶ τὸ λαμπρὸν ἔθελεν ποίσειν μεγάλην ζημίαν, ἀμμὲ ὁ Χάννας ὁ Δαμασκηνὸς καὶ ἡ κυρὰ ἡ Πέλλα ἡ Μουχρουτήνα δ' ἡμέραις καὶ ἐσβύσαν τα. Καὶ τὴ νύκτα ἐπῆραν τοὺς χριστιανοὺς καὶ βίος, καὶ ἐπῆγαν εἰς τὸ ἀνάθεμαν.

Καὶ ἄνταν ἐπῆγεν τὸ παράνομον φουσάτον, ἐσηκώθησαν τὰ σπιτία τοὺς λᾶς, καὶ ἐποῖκαν κούρση καὶ φόνους πολλούς· ὁμοίως ἕνας σορδάτος τοῦ ρηγὸς ὀνόματι Σφόρτζα, ἐκούρτζεψεν ἔσω ὅσον ἔσωνεν, καὶ ἔθελε νὰ κρατήσῃ τὴν ἀφεντίαν μὲ τοὺς Σπανιόλιδες εἰς τὴν Πάφον. Ἔβαλαν οἱ χωργιάταις καπετάνον εἰς τὴν Λεύκαν, ἄλλον καπετάνον εἰς τὴν Λεμεσόν, ἄλλον εἰς τὴν Ὀρεινήν, καὶ εἰς τὴν Περιστερόναν ἄλλον, καὶ εἰς τοῦ Μορφου καπετάνον, καὶ εἰς τὸ Λευκόνικον ρήγαν Ἀλέξην, καὶ ὅλοι οἱ χωργιάταις ἐδόθησαν εἰς τὴν ὑπόταξίν του· καὶ ἀνοῖ-

ξαν ταῖς ἀποθήκαις καὶ ἐκουβαλοῦσαν τὰ κρασία τοὺς καλοπίχερους, ἕτεροι ἐπέρναν τὸ ψουμὶν ἀπὸ τ' ἁλώνια, ἄλλοι τὰ ζαχάριτα καὶ τὰ προδέλοιπα πράματα τοὺς καλοὺς λᾶς. Ὁμοίως ἕνας Ἀρμένης καβαλλάρης ἔπερνεν τὴν γεναῖκάν του νὰ πάγῃ εἰς τὴν Πάφον, καὶ εἰς τὸ καπετανίκιν τῆς Λεύκας ἐδυναστέψαν τὴν γυναῖκάν του, καὶ κεῖνον ἐσκοτῶσάν τον. Ὁ Ἀπίσκοπος ὁ λατῖνος ὁ φρὲ Σαλαμοὺς ἐπήγαινεν πρὸς τὴν Ἀμμόχουστον, καὶ ἐπίασέν τον τὸ φουσάτον τοῦ ρὲ Ἀλέξη, καὶ ἐκουρσεῦσάν τον καὶ ἐδέραν τον, καὶ ἐποῖκάν του πολλὴν μεγάλην ἀντροπήν, καὶ ἐσκαπίασεν ἀπὸ τὸν θάνατον. Καὶ πολλὰ κακὰ ἐποίκασιν, καὶ ὁ θεὸς δὲν τὰ βάσταξεν.

Γροικῶντα ὁ γαρδηνάλης ταῖς ἀπιστίαις καὶ κα(κὰ) τὰ ἐπολομοῦσαν οἱ λύκοι καὶ χωργιάταις, ὡρδινίασεν κουβερνούρην τὸν σὶρ Πατὶ τὲ Νόρες τὸν μαριτζᾶν τῶν Ἱεροσολύμων, καὶ τὸν σὶρ Χαρρὴν τὲ Ζηπλέτ, τὸν Περρὴν Μαχαιρᾶ τὸν βαχλιώτην τοῦ ρηγός, μὲ φουσάτον καὶ ἦλθαν καὶ ἐπιάσαν τὴν Λευκοσία, καὶ ἐδιαλάλησε, πᾶσα ἄνθρωπος νὰ κάτζῃ φρόνιμα καὶ νὰ πολομοῦν ταῖς δουλιαῖς τους, ὡς γίον ἦσαν μαθημένοι, καὶ τινὰς μηδὲν τερμίσῃ νὰ ποίσῃ καμμίαν ἀγανάκτησιν, ἀπάνω εἰς τὸ κορμίν του. Καὶ ὡρδινίασεν τὸν φρὲ Ἄγγελον τοῦ Σπιταλίου, ὅπου ἦτον εἰς τὴν Πάφον ἐμπαλῆς, νὰ πάγῃ νὰ χαλάσῃ τὰ καπετανίκια τοὺς χωργιάταις μὲ τὸν Ἀντωνίε Ταμιλᾶ· καὶ ἐπῆγαν καὶ ηὗραν τοὺς καπετάνους τοῦ Μόρφου καὶ τῆς Λεύκας, καὶ τοὺς μὲν ἐφουρκίσαν, τοὺς δὲ ἐκόψαν ταῖς μούτταις τους, καὶ ἄλλοι ἐφύγαν· καὶ ἔπαψεν κακοσύνην τοὺς καταραμένους χωργιάταις. Καὶ ὁ σὶρ Χαρρὴν τὲ Ζηπλὲτ μὲ τὸν Περρὴν Μαχαιρᾶ ἐπῆγεν εἰς τὴν Λεμεσον, καὶ ἐποίκασιν κρίσες ὡς καὶ εἰς τοῦ Μόρφου, καὶ ἐτερεπιάσαν τὸν ρὲ Ἀλέξην καὶ ἐφέραν τον εἰς τὴν Λευκοσίαν καὶ ἐκρεμμάσαν τον εἰς τὴν φούρκαν τῇ δευτέρᾳ εἰς τὰς ιβ΄ μαγίου ᾳυκζ΄ Χριστοῦ.

Καὶ τῇ κυριακῇ, κγ΄ νοεμβρίου ᾳυκς΄ Χριστοῦ ἦρτεν ὁ

βαχλιώτης τοῦ Πάπα καὶ ἔφερεν τὸ [σ]κιάδιν τοῦ γαρδενάλη καὶ ταῖς βούλλαις διὰ νὰ ὀρδινιάσουν τὸν πρῶτον νοτάρην γαρδενάλην· καὶ τὴν κυριακὴν εἰς τὰς λ΄ νοεμβρίου ἐφέραν τὸν πρῶτον νοτάρην συντροφιασμένος εἰς τὴν ἁγίαν Σοφίαν· ὁ κύρης Οὖγκε τὲ Λουζουνίας ἦτον πρωτοαποστολάριος, ἔτι ὑποψήφιος, ὕστερον πρωτονοτάριος, τἄπισα εὐαγγελιστής· καὶ τὴν αὐτὴν ἡμέραν ἐποῖκάν τον γαρδενάλην διάκον τοῦ ἁγίου Ἀνδρέου, καὶ ἐβάλαν του τὴν κάππαν τὴν σχαρλάτην καὶ τὸ σκιάδιν, κατὰ τὸ δηλούμενον εἰς τὰ προβιλίζια τοῦ Πάπα.

Καὶ τὴν κυριακὴν εἰς τὰς κγ΄ νοεμβρίου αὐτῆς ἐχρονίας ἦλθεν ὁ καλὸς Σουάρε ἀπὸ τὸν ῥῆγα εἰς τὴν Κύπρον. Τἄπισα ἦλθεν ὁ φρὲ Ἄγγελος τοῦ Σαντομένικου ἀπὸ τὴν Ῥόδον, καὶ ὁ γαρδενάλης ἔδωκέν του ἀποκάμισα, βρακία καὶ ἕτερα ροῦχα νὰ πάρῃ τοῦ ρηγὸς εἰς τὸ Κάριος. Τἄπισα ἔπεψεν τὸν Σινεστιένε Σπινόλα καὶ τὸν Τζάνους τὲ Μουντόλφ καὶ τὸν Ριτζὰτ Καμιοῦς, καὶ τὸν Φρατζέσκον Σπίνολα μαντατοφόρους εἰς τὸν σουλτάνον, ἀπάνω εἰς τὴν γαλιάτζαν τοῦ Ματαίου Κόστα· τἄπισα ἐστράφη ὁ σὶρ Ἐστιένε Σπινόλας μὲ χαρτία, καὶ ἐδιαβάσαν τα καὶ ἔδωκάν του ἀντίλογον, ὅτι ἦλθαν μὲ ξύλον Σαρακηνικόν. Ὁ γαρδενάλης ἔπεψεν τὸν Καρσερὰν Σουαρὲ ἀπάνω εἰς τὸ κάτεργον τοῦ ρηγὸς, καὶ ἔπεψεν τὸν κύρην τοῦ Βερουτίου καὶ τὸν σίρε Ματαῖον Ράμες, καὶ τὸν σίρε Τομεσίον Δαμπαλίουν, τὸν Περρὴν Μπελεστρὶν καὶ τὸν Τζὰκ δὰ Μπελονία, καὶ τὸν μάστρε Τουμασὶ Πίπη, καὶ τὸν σὶρ Κόλε Δελαπριντζέσε τὸν πρωτοψάλτην τῆς ἁγίας Σοφίας, καὶ τὸν Γεώργιον τοῦ Κορόμηλου τὸν μάγειρόν του, καὶ ἀκομὴ ὁ γαρδενάλης ἔστειλεν τοῦ ρηγὸς ἀπάνω εἰς τὴν γαλιάτζαν τοῦ Ματαίου σὶρ Κοέτ, καθὼς ἄνωθεν δηλοῖ, τὸν σὶρ Ἐστιένε Σπινόλα, τὸν Φερὲτ τὸν τζουτζουμάνον τοῦ σουλτάνου, τὸν Πελιγὲρ Φικερέλλο, τὸν Φρασὲ Σπινοὴλ, καὶ τὸν Ἀλέξην τὸν Γιακούπην τὸν βαχλιώτην τοῦ ρηγός.

Καὶ τὴν δευτέραν ἐφέραν μαντάτον πῶς ὁ ρήγας ἀνέφανεν εἰς τὴν Πάφον εἰς ταῖς ιβ' μαγίου ͵αυκζ' Χριστοῦ· καὶ τὴν αὐτὴν ἡμέραν ἐφουρκίσαν τὸν ρὲ Ἀλέξην, καθὼς ἄνωθεν δηλοῖ, ὁ ποῖος ἦτον ἀγελάρχης τοῦ ἐφφικίου τῆς τζάμπρας τοῦ ρηγός, πάροικος ἀπὲ τὸ χωργίον τῆς Κατωμηλίας. Καὶ τὴν τρίτην, εἰς τὰς ιγ' μαγίου, ἦλθεν ὁ Τζένιος τὲ Μουντολήφ. Καὶ τὴν τετράδην, εἰς τὰς ιδ' μαγίου ἐπῆγεν ὁ γαρδενάλης εἰς τὴν Κερινίαν νὰ ἐγδέχεται τὸν ρῆγα, καὶ ἦτον μεσοπεντήκοστον, καὶ τὴν νύκταν ἐποίκασιν μεγάλην λυχναπίαν εἰς τὴν Κερινίαν· τὸ μεσανυκτικὸν ἀναφάναν τὰ ἄρμενα.

Καὶ τὴν πέφτην εἰς τὰς ιε' μαγίου ἀπανεστέφθην ὁ ρὲ Τζουὰν τὲ Λουζουνίας, καὶ ἐστέφθην ὑπὸ χειρὸς τοῦ φρὲ Σαλάμου, ἀπὸ τὸν ὄρδινον τοῦ Σὰν Τομένικου ἐπίσκοπος Ταρτούζας, εἰς τὴν ἁγίαν Σοφίαν. Καὶ εἰς τὸν αὐτὸν καιρὸν ἐφύσησεν πολλὴ ἀκρίδα, ἀπὸ ἀρχῆς. Καὶ ἀπὸ ἀρχῆς ἰουνίου ͵αυλη' Χριστοῦ, ἦλθεν ἕναν θανατικὸν εἰς τὴν Λευκοσίαν καὶ εἰς τὰ χωρία καὶ ἐποῖκεν πολὺν θάνατον, καὶ ἀπάντησεν μῆνες ιζ'. (1).

Καὶ τῇ κυριακῇ τῇ γ' ἰουλίου ͵αυμ' Χριστοῦ ἦρτεν ὁ ρὲ Τζουάνης μὲ τὴν συμβίαν του τὴν Μεδρία εἰς τὴν ἁγίαν Σοφίαν καὶ ἐστέφθησαν. Καὶ τῇ ιγ' σεπτεβρίου ͵αυμ' Χριστοῦ ἐτελεύτησεν ἡ αὐτὴ ρήγαινα Μετεγία, καὶ ἐθάψαν την εἰς τὸν Σὰν Τομένικον εἰς τὸ κιβοῦριν τῆς πεθερᾶς της.

Καὶ τὴν κυριακὴν τῆς Τυρινῆς, τῇ β' φευρουαρίου ͵αυμα' Χριστοῦ ἦλθεν ἡ κυρὰ ἡ Ἑλένη Παλαιολόγου, κόρη τοῦ δεσπότου τοῦ Μορεᾶ εἰς τὸν Ἅγιον Αὐξίβιον.

Καὶ τὴν τετράδην εἰς τὰς γ' φ(ευρουαρίου) ͵αυμα' Χριστοῦ ἐπῆγεν ὁ πιούρης τῆς Ἀντιοχείας, ὁ τζανούνης ὁ υἱὸς τῆς Καρβούνας, καὶ ἅρμασεν τὸν ρῆγα μὲ τὴν αὐτὴν Ἑλένην.

(1) Κατὰ πᾶσαν πιθανότητα ἐνταῦθα κατέληγεν ἡ διήγησις τοῦ Μαχαιρᾶ, ὡς καὶ ἐν τῇ μεταφράσει τοῦ Στραμβάλδη· τὰ δὲ παρακολουθοῦντα σημειώματα προσετέθησαν ὑπ' ἄλλου τινός.

Καὶ τὴν τετράδην εἰς τὰς κδ΄ ἰουλίου ͵αυνη΄ Χριστοῦ ἐποῖκεν ὁ θεὸς τὸ θελῆμάν του ἀπὸ τὸν ἀφέντην μας τὸν ρῆγα τὸν ρὲ Τζουὰν τὲ Λαζανίαν, ὁ ποῖος ἐγεννήθην ἡμέραν δευτέραν, ὁ ποῖος ἐπόθανεν τὴν δευτέραν τὸ δεῖλις, καὶ ἐθάψαν τον εἰς τὸν Σὰν Τομένικον. Ὁμοίως ἐπόθανεν εἰς τὸ αὐτὸν μοναστῆριν καὶ ἡ κόρη του ἡ Τζαρλόττα ἐκεῖ, ἡ ποία ἦτον χήρα ἀπού τὸν πρίντζην τοῦ λεγομένου Τζουὰν τὲ Κοπρέ (1)· καὶ τὴν αὐτὴν ἡμέραν ἐδιαλαλῆσάν την ρήγαινα κατὰ τὸ συνῆθιν, καὶ ἐπόθανεν καὶ ἡ μητέρα της ὀμπρότερα τὸν πατέρα της ἡμέραις ο΄, ἡ ποία νὰ τὴν ἀναπαύσῃ καὶ κείνην καὶ κεῖνον ὁ θεός.

͵αυνη΄ Χριστοῦ.

(1) Ἡ Καρλόττα δὲν ἀπεβίωσεν ἐν Κύπρῳ, ἀλλ' ἐν Ρώμῃ (1487).

ΓΕΩΡΓΙΟΥ

ΒΟΥΣΤΡΩΝΙΟΥ

ΧΡΟΝΙΚΟΝ ΚΥΠΡΟΥ.

Διήγησις κρόνικας Κύπρου ἀρχεύγοντα ἀπὸ τὴν ἐχρονίαν ᾳυνς Χριστοῦ.

Τὴν ἐχρονίαν ᾳυνς´ Χριστοῦ ἦρτεν ἀπὸ τὸ Πορτοὺαλ ὁ πρίντζης, διὰ νὰ ὁρμαστῇ τὴν θυγατέραν τοῦ ρὲ Τζουάνη, ὀνόματι Τζαρλόττα· καὶ ἡ μητέρα της ἦτον ἡ ρήγαινα ἡ Ἑλένα ἡ Παλαιολογίνα, κόρη τοῦ δεσπότου τοῦ Μωρέως, ἀδελφοτέκνη τοῦ βασιλέως τῆς Κωσταντινοπόλεως· καὶ ἁρμάστην ὁ ἄνωθεν πρίντζης μὲ τὴν ἄνωθέν τους θυγατέραν τὴν κυρὰν τὴν Τζαρλότταν· καὶ ἡ μητέρα της ἦτον πολλὰ φρονίμη, καὶ πάντα ἦτον ἀστηνεμένη· καὶ ἁρμάστην ὁ ἄνωθεν πρίντζης εἰς τὸ ἀπλίκιν τοῦ καβαλλάρη μισὲρ Ρίκου τὲ Λαπάμ· διότι ἀφ' ὃν ἐκάψαν τὴν αὐλὴν τὴν ρηγάτικην, ὁ ρὲ Τζένιους ὅσον ἐστράφην ἀπὸ τὴν Συρίαν ἐπῆρεν τὸ ἀπλίκιν τοῦ σὶρ Ρίκου τὲ Λαπάμ, καὶ ἐκατοίκησεν, καὶ ἔμεινεν αὐλὴ ρηγάτικη ὡς τὴν ἐσήμερον.

Καὶ ὡς γίον ἠξεύρετε, ὅτι εἰς ταῖς αὐλάδες ταῖς ρηγάτικαις εὑρίσκουνται ζῆλαις, ὅτι ἐβάλαν τόσα λογία τοῦ πρίντζη, καὶ ἐβγῆκεν ἀπὲ τὸν πεθερόν του καὶ ἐπῆγεν εἰς τὸ σπίτιν τοῦ Πιὲρ Λαζανία τοῦ κούντη τῆς Τρίπολης, τὰ ποῖα εἶναι καταπρόσωπα τοῦ καστελλίου· ὁποῖος κούντης ἦτον υἱὸς τοῦ

ρὲ Τζάκ, ἀδελφὸς τοῦ ρὲ Τζένιου, καὶ θεῖος τοῦ ἄνωθεν ρὲ Τζουάνη, καὶ ὁ ἄνωθεν κούντης ἐβαπτίσεν τὴν ἄνωθεν Τζαρλότταν καὶ ἐχάρισέν της τὴν Λακαταμίαν· καὶ ἔχοντα καὶ ὁ ἄνωθεν πρίντζης ἐπῆρεν τὴν συμβίαν του καὶ ἐπῆγεν ἀπὸ τὸν πατέραν της, ἐπῆρε μεγάλην πλῆξιν ὁ πατέρας της καὶ ἡ μητέρα της, διότι ἄλλον παιδὶν δὲν εἶχασιν.

Καὶ διαβαίνοντα ὀλίγαις ἡμέραις ἐσηκώθησαν ἀπὲ τὸ Σπιτάλιν φρέριδες καὶ ἐγύρισαν μία νύκταν καὶ ἐμπλάσαν ἑνοῦ παιδίου ὀνόματι Τζαρρά, ὁ ποῖος ἦτον καλὸς ἄνθρωπος ἀπὲ τὸ κορμίν του, καὶ ἐσκοτῶσάν τον· ὁποῖος παιδίος εἶχεν δύο ἀδελφοὺς καλοὺς ἀνθρώπους, καὶ θωρῶντα πῶς ἐσκοτῶσαν τὸν ἀδελφόν τους χωρὶς ἀφορμήν, ἐβάλαν τὸν σκοτωμένον εἰς μίαν (1) σκάλαν καὶ ἐφέραν τον εἰς τὴν αὐλὴν τοῦ ρηγός, καὶ ἐζητῆσαν κρίσιν· καὶ εὑρέθησαν κἄτινες καὶ εἶπαν τοὺς ἀδελφούς του: ἠξεύρετε, ὅτι οἱ φρέριδες ἀποῦ σκοτῶσαν τὸν ἀδελφόν σας εὑρίσκουνται ἔσω εἰς τὸν ἀφέντη τὸν πρίντζη! (2) Καὶ ἐπῆγαν εἰς τὸ σπίτιν τοῦ πρίντζη· καὶ ὁ ἀφέντης ὁ πρίντζης ἔστεκεν (3) εἰς τὸν ἡλιακόν, καὶ θωρῶντα τοὺς ἀνθρώπους πῶς ἐτρέχαν μὲ μεγάλην φουργίαν, ὥρισεν καὶ ἐσφάλισαν ταῖς πόρταις· καὶ ἐγίνην μέγαν (4) σκάνταλον, καὶ ἐσκοτῶσαν δύο δουλευτάδες τοῦ πρίντζη, καὶ ἀπὸ τοὺς ἄλλους ἕναν, (5) καὶ ἐλαβώθησα (6) πολλοί· καὶ ὁ πρίντζης ἐπῆρεν μεγάλο (7) δισπλαζέριν, καὶ μέσα εἰς τοῦτον ἐκακοψύχησεν, τὸ ποῖον ἦρταν καὶ κἄτινες (8) καὶ εἶπάν του, πῶς ὁ Θωμᾶς ὁ τζανπερλάνος (9) τοὺς ἐκατάστησεν τοὺς ἀνθρώπους (10) καὶ ἐπῆγαν εἰς τὸ σπίτιν τοῦ πρίντζη· καὶ ἐπαραπονήθην το ὁ πρίντζης· τὸν ὁποῖον Θωμᾶν ἐ-

(1) Μέχρις ἐνταῦθα εἶναι ἐλλειπὴς ὁ μέγας κώδιξ, τοῦ ὁποίου ἀπεντεῦθεν ὑποσημειοῦμεν τὰς διαφόρους γραφάς. (2) Ἔσω τοῦ ἀφέντη του. (3) ἐστέκετον. (4) μεγάλον. (5) ἕνας. (6) ἐλαβώθησαν. (7) μεγάλον. (8) καὶ ἀπὸ τὴν πλῆξιν ἐκακοψύχησεν, καὶ ἦρταν κἄτινες. (9) τζαμπερλάνος. (10) παιδίους.

φερέν τον ἡ ῥήγαινα ἡ Ἑλένα, καὶ ἦτον υἱὸς τῆς βυζαστρίας της, καὶ διὰ τὴν ἀγάπην τῆς ῥήγαινας ὁ ῥήγας ἐτίμησέν τον καὶ ἔδωκέν του πολλαῖς ῥένταις, καὶ ἐποῖκέν τον καὶ καβαλλάρην καὶ τζαμπερλάνον τοῦ ῥηγάτου. Καὶ γροικῶντα ὁ Θωμᾶς πῶς εἶπαν τοῦ πρίντζη καὶ (1) ἦτον ἡ ἀφορμὴ τοῦ σκαντάλου, ἐπῆγεν εἰς τὴν Ἀμμόχουστον, καὶ οἱ Γενουβίσοι ἐποῖκάν του μεγάλην τιμὴν καὶ καλὴν συντροφίαν (2).

Καὶ ὁ πρίντζης εἰς ὀλίγαις ἡμέραις ἐπέθανεν καὶ ἐθάψαν τον εἰς τὸν Σὰν Φραντζέσκον· καὶ ἐγίνην μεγάλη λύπη, διότι ἦτον ὄμορφος, καὶ καλὸς ἄνθρωπος (3). Καὶ ἡ κυρὰ ἡ Τζαρλόττα ἔμεινεν χήρα, καὶ ἔπηρέν την ὁ πατέρας της εἰς τὸ σπίτιν του (4) μὲ μεγάλην λύπην. Καὶ πεθανίσκοντα ὁ πρίντζης, μοναῦτα οἱ φίλοι τοῦ τζανμπερλάνου ἐμήνυσάν το τοῦ Θωμᾶ εἰς τὴν Ἀμμόχουστον (5), καὶ χώρις νὰ πάρῃ κανέναν (6) σκοπὸν ἦρτεν εἰς τὴν Λευκουσίαν καὶ ἐπῆγεν εἰς τὸ σπίτιν του, τὸ ποῖον σπίτιν ἦτον ἐνοῦ καβαλλάρη μισὲρ Ῥέτζου (7) Τεπλὰν Τεκαρδί, καταπρόσωπα τοῦ λουτροῦ τοῦ Κοκκίνου. Καὶ μέσα εἰς τοῦτον ἡ κυρὰ ἡ Τζαρλόττα ἐπαραπονήθην το τοῦ Ἀποστολὲ τοῦ ἀδελφοῦ της, τοῦ παστάρδου τοῦ πατέρα της, πῶς ἐθανατῶσαν τὸν ἄντραν της· ὁποῖος Ἀποστολὲς ἦτον χρονῶν ιζʹ, καὶ ὁ ῥὲ Τζουάνης ἔδωκέν του τὴν ἀρχιεπισκοπὴν μὲ οὖλαις ταῖς ῥένταις (8) καὶ δέκατα, καὶ ἦτον μίας μεγάλης ψυχῆς· καὶ γροικῶντα τοὺς λᾶς τῆς χώρας καὶ πολλοὺς καβαλλάριδες, πῶς ἦτον ἡ ἀφορμὴ ὁ τζαμπερλάνος καὶ ἐπέθανεν ὁ πρίντζης, ἐδῶκαν πολλὰ λογία τοῦ Ἀποστολέ. Καὶ ταῖς ἡμέραις ἐκείναις εἶχαν ἔρτειν εἰς τὴν Κύπρον δύο Τζιτζιλιάνοι καὶ ἐστάθησαν μὲ τὸν Ἀποστολέ· καὶ ὁ τζαμπερλάνος ἐποῖ-

(1) πῶς. (2) συντροφία. (3) ἄθρωπος. (4) καὶ ἐπῆρεν τὴν κυρὰν τὴν Τζαρλότταν ὁ πατέρας της καὶ ἡ μητέρα της εἰς τὸ σπίτιν τους. (5) ἐμήνυσάν τού το εἰς τὴν Ἀμμ. (6) κανένα. (7) Ῥίτζου. (8) ἐντράδαις.

κεν μέγαν κάλεσμα· καὶ γροικῶντα ὁ Ἀποστολὲς πῶς ἐποῖκεν κάλεσμαν, ἐκαβαλλίκευσεν καὶ ἐπῆγεν ἔσω τοῦ (1) τζαμπερλάνου, καὶ ἐπῆρεν καὶ τοὺς δύο Τζιτζιλιάνους, καὶ ἐπαράγγειλέν τους, πῶς ἄντα νὰ τοὺς ὁρίσῃν νὰ τὸν σκοτώσου (2) τὸν τζαμπερλάνον. Καὶ ἐπῆγεν (3) εἰς τοῦ τζαμπερλάνου, καὶ ηὗρεν καὶ ἐπῆγαν οἱ καλεσμένοι, καὶ ἦτον μοναχός. Γροικῶντα (4) ὁ τζαμπερλάνος πῶς ἐπῆγεν ὁ Ἀποστολές, ἐκατέβην ὁ τζαμπερλάνος κάτω 'ς τὸ (5) περρούνιν τῆς σκάλας καὶ ἐπροσδέχτην (6) τον, καὶ ἐπίασέν τον ἀπὲ τὸ χέριν, καὶ ἐνέβησαν ἀπάνω. Καὶ εἰς πολλὰ (7) τὰ ἐσυντύχαν, λαλεῖ ὁ Ἀποστόλες τοῦ τζαμπερλάνου: ἂν ἔχῃς ἀπλαζίριν, ἂς πᾶν οἱ ἄνθρωποι (8) ἔξω, νὰ μᾶς ποίσουν τόπον, διὰ νὰ σοῦ συντύχω! Καὶ ἔρισεν ὁ τζαμπερλάνος τοὺς δουλευτάδες του καὶ εὐγῆκαν ἔξω, καὶ οἱ Τζιτζιλιάνοι ἐμεῖναν· καὶ καλεῖ ὁ Θωμᾶς τοῦ Ἀποστόλε νὰ τοὺς ἐβγάλῃ, καὶ κεῖνος εἶπεν του: δὲν ἠξεύρουν ρωμαῖκα! καὶ ὁ τζαμπερλάνος ἐπίστευσεν. Καὶ μηνίσκοντα μοναχοί, ἔρισεν τοὺς Τζιτζιλιάνους καὶ ἐσκοτῶσάν τον· καὶ κατεβαίνοντα (9) ὁ Ἀποστόλες νὰ πάῃ, ὀλίγον ἔλειψε νὰ τὸν σκοτώσῃ ἕνας δουλευτὴς τοῦ τζαμπερλάνου. Καὶ καβαλλικεύγοντα ὁ Ἀποστόλες, ἦρτεν εἰς τὸ σπίτι τοῦ Καρτζερᾶ Σουὰρ τοῦ κοντοσταύλη, καὶ εἶπέν του τὸ πρᾶμαν πῶς ἐδιάβην· καὶ γροικῶντά το ὁ κοντοσταύλης ἔμεινεν πολλὰ χαϊργιασμένος, καὶ δὲν τὸν ἀφῆκε νὰ πεζεύσῃ, ἀμὲ εἶπέν του νὰ πάγῃ εἰς τὴν ἀρχιεπισκοπήν· καὶ μόναυτα ἐπῆγεν, καὶ ἐστάθην δυνατὸς ὅσ' ὥς που νὰ διαβῇ τὸ πρᾶμαν. Καὶ εἶχεν εναν καβαλλάρην ὀνόματι μισὲρ Γιάκουμη Γούρην καὶ ἦτον βισκούντης, καὶ πολλὰ (10) φρόνιμος, καὶ ἐγροικᾶτον μὲ τὴν ρήγαιναν τὴν Ἑλέναν, καὶ διὰ νὰ κουμπλεζιάσῃ

(1) εἰς τοῦ. (2) σκοτώσουν. (3) Καὶ παγαίνοντα. (4) Καὶ γροικῶντα. (5) εἰς τό. (6) ἐπροσδέκτην. (7) Καὶ πολλά. (8) ἀθρῶποι. (9) εἰς τὸ κατεβῆν. (10) ἦτον πολλά.

τῆς μάνας τοῦ Θωμᾶ, ἐκράτησεν τόσην στράταν μὲ τὸν ῥήγαν νὰ ποίσῃ δισπλαζίριν τοῦ Ἀποστόλε· καὶ ὁ ῥήγας ἐκάθετον εἰς τὰ σπιτία τῆς κυρᾶς τῆς Ἀννὲς, πλησίον τῆς Σάντα Κατερίνας.

Γροικῶντά τον ὁ ῥὲ Τζουάνης ἐθυμώθην πολλὰ διὰ τὸν σκοτωμὸν τοῦ τζαμπερλάνου, καὶ ἐφοβήθησαν διὰ τὴν κυρὰν τὴν ῥήγαιναν τὴν Ἑλέναν· μόναυτα ὥρισεν καὶ ἐτάξαν πᾶσα ἄνθρωπον νὰ συνπιαστοῦν εἰς τὴν αὐλὴν τοῦ ῥηγός· καὶ οὕτως ἐγένετον τὸ ὁποῖον (1). Ὁ ῥὲ Τζουάνης ἐγάπαν (2) πολλὰ τὸν Ἀποστόλε, ἀμμὲ διὰ τὸν φόβον τῆς ῥήγαινας δὲν ἐτόρμα νὰ δείξῃ κανέναν φανόν· καὶ ἔρισεν ὁ ῥήγας καὶ ἐσηκῶσάν του τὴν ἀρχιεπισκοπήν· καὶ ὁ Ἀποστόλες δὲν ἦτο νὰ τὸ βαστάξῃ, καὶ ἐγύρεψεν μὲ πᾶσα στράταν νὰ ἔχῃ τὴν ἀρχιεπισκοπήν· καὶ δὲν ἦτον ῥεμέδα νὰ τὴν ἔχῃ· καὶ ἐδουλεῦσάν τον νὰ πάγῃ εἰς τὸν μισὲρ Γιάκουμον Γούρην, καὶ κεῖνος θέλειν βάλλει ῥεμέδα. Καὶ ἐπῆγεν καὶ ἐσύντυχέν του, καὶ ἀποδιάβασέν τον, καὶ ἐβούλευσέν τον νὰ πάγῃ ἔξω εἰς τὰ Μάγκανα εἰς τὸν ξηγορευτὴν τῆς ῥήγαινας, καὶ κεῖνος θέλειν ποίσειν πᾶσα πρᾶμαν μὲ τὴν κυρὰν τὴν ῥήγαινα· καὶ ὡς γίον τὸν ἐβουλεῦσεν, ἤτζου ἐποῖκεν. Καὶ ἐκαβαλλίκευσεν καὶ ἐπῆγεν εἰς τὰ Μάγκανα καὶ ἐσύντυχεν μὲ τὸν ξηγορευτήν, καὶ δὲν ἦτον ῥεμέδα νὰ ποίσῃ τίποτες. Θωρῶντα καὶ ῥεμέδα δὲν ἦτον νἄχῃ τὴν ἀρχιεπισκοπήν, ἐφάνην του νὰ πιάσῃ τὴν (3) καλλίτερην στράταν διὰ τὴν ζωήν του καὶ διὰ τὴν τιμήν του.

Καὶ τὴν αὐτὴν ἐχρονίαν ͵αυνς´ ἐπῆρεν ἕναν παπᾶν τῆς ἁγίας Σοφίας τὸν σὶρ Ἀρνὰ Μοτὲ καὶ τὸν βαχλιώτην του τὸν Μαρτινίκο Τελιούν, καὶ μίαν νύκταν εὐγῆκεν ἀπὸ τὴν Ἀρμενίαν ἀπὲ τὸ κάστρον, καὶ εἶχεν ἔξω ἄλογον καὶ ἐκαβαλλίκευσεν καὶ ἐπῆγεν εἰς τὴν Ἁλικὴν, καὶ ηὗρεν τὴν καραβέλλαν

(1) ἐγίνην τὸ ποῖον. (2) ἀγάπαν. (3) ποίσῃ τή.

τοῦ Ταφουρές, καὶ ἐνέβησαν ἀπάνω καὶ ἐποῖκαν ἄρμενα· καὶ πηγαίνοντά του, ἐμπλάσαν ᾽νοῦ κατέργου Φιουρουντίνικου, καὶ ἐφάνην του νὰ μπῇ εἰς τὸ κάτεργον διὰ νὰ ἦναι περίττον σιγούρου· καὶ ἐμήνυσεν τοῦ καραβοκυροῦ, καὶ ἔμπασέν τους ἀπάνω καὶ ἐποῖκέν τους μεγάλην τιμήν· καὶ ἐπαραδῶκάν του τὸ κάτεργον, ὡς γίον νᾶχεν (1) εἶστεν δικόν του· καὶ μοναῦτα ἐποῖκαν ἄρμενα καὶ ἦρταν εἰς τὴν Ἀμμόχουστον διὰ δουλίαις ταῖς εἶχε νὰ φτιάσῃ. Καὶ μανθάνοντά το πῶς εὑρίσκεται εἰς τὴν Ἀμμόχουστον ᾽ς τὸ κάτεργον ὁ Ἀποστολὲς (2), μοναῦτα ὡρδινιάσαν ἕναν καβαλλάρην τὸν μισὲρ Μπερνάρδο (3) Ροῦσον, ὁ ποῖος ἦτον ἀμιράλης τῆς Κύπρου, νὰ πάγῃ μαντατοφόρος εἰς τὸν καραβοκύρην διὰ τὰ κατεβάσῃ τὸν Ἀποστόλε ἀπὸ τὸ κάτεργον. Καὶ πολλὰ ἐπλημμελεῦσεν, καὶ δὲν ἦτον ρεμέδα νὰ τὸν κατεβάσῃ. Καὶ ἐσηκώθησαν καὶ ἐπῆγεν εἰς τὴν Ρόδον· καὶ θωρῶντά τον ὁ μέγας μάστρος ἐπῆρεν μεγάλον ἀπλαζίριν, καὶ ἐποῖκέν του μεγάλην τιμήν. Καὶ ἐστάθην εἰς τὴν Ρόδον ε΄ μῆνες, καὶ ἐπολόμαν του ὁ μέγας μάστρος τοὺς ὀξόδους, καὶ ἐγδέχετον μαντάτον ἀπὸ τὴν Κύπρον, διὰ νὰ τὸν μηνύσουν νὰ τοῦ δώσουν τὴν ἀρχιεπισκοπήν, καὶ ποτὲ κανέναν μαντάτον δὲν ἦτον νὰ τοῦ μηνύσουν· καὶ ἀγρωνίζοντα πῶς εἶχεν πολλοὺς καβαλλάριδες ἀποῦ τὸν ἐμισοῦσαν, ἐφάνην του νὰ διαλέξῃ τὴν καλλιώτερην στράταν ἀποῦ νὰ ἐμπορήσῃ (4) νὰ ποίσῃ.

Καὶ τὸν καιρὸν ἐκεῖνον εὑρίσκετον εἰς τὴν Κύπρον ἕνας καλόγηρος ὀνόματι φρὲ Γιλιάμ Γουνέμες τοῦ Σαντιγουστῆ, ὁ ποῖος ἦτον πολλὰ ἀγαπημένος μὲ τὸν ρὲ Τζουάννην. Καὶ ὡς γίον ἠξεύρετο, ὅτι εἰς ταῖς αὐλάδες εὑρίσκουνται μεγάλαις (5) ζήλαις, τόσον ἤξευραν νὰ ποίσουν καὶ ἐδῶξαν τὸν (6) φρὲ Γιλιὰμ ἀπὸ τὴν αὐλὴν τοῦ ρηγός, καὶ ἀπὸ τὴν παραπονεσίν του ἐτη-

(1) νὰ εἶχεν. (2) τὸ κάτεργον μὲ τὸν Ἀποστολέ. (3) Μπερνάρδη. (4) τὸ καλλίτερον ἀποῦ νὰ μπορήσῃ. (5) πολλαῖς. (6) τὸ φρέ.

γεν εἰς τὴν Ρόδον, καὶ θωρῶντά τον εἶχάν τον πολλὰ ἀκριβόν. Καὶ θωρῶντά τον ὁ Ἀποστόλες ἔποικέν τον πολλὴν τιμὴν (1) καὶ πᾶσα ἀπλαζίριν.

Καὶ θωρῶντα ὁ Ἀποστόλες, ὅτι ἀπὸ τὴν Κύπρον δὲν ἦτον νὰ 'δῇ κανέναν μαντάτον, ἐφάνην του νὰ βουλευτῇ μὲ τὸν ἄνωθεν φρὲ Γιλιάμ· καὶ γροικῶντα ὁ φρὲ Γιλιὰμ ταῖς παραπόνεσές τους (2), εἶπέν του: μὲν πάρῃς καμμίαν κακὴν καρδία, καὶ 'γὼ νὰ ποίσω πᾶσα πρᾶμαν, ἀποῦ νᾶναι εἰς τὴν τιμήν σου καὶ ἀπλαζίριν του. Καὶ χώρις νὰ ξεύρῃ τινὰς τίποτες εἰς τὴν Ρόδον, ἀρματῶσαν δύο κάτεργα εἰς τὴν Ρόδον, ἕναν τοῦ Τζουὰν Καλαρκᾶ, καὶ τὸ Φιουρουντίνικον, καὶ τὴν καραβέλλαν τοῦ Τζουὰν Μπέρες (3), καὶ τὴν καραβέλλαν τοῦ Τζουὰν Ταφουρές, καὶ ἐμπῆκαν ἀπάνω ὁ Ἀποστόλες καὶ ὁ φρὲ Γιλιὰμ καὶ ἦρταν εἰς τὴν Κύπρον εἰς τὴν Κερινίαν, χωρὶς νὰ ξεύρῃ τινὰς κανέναν μαντάτον. Καὶ ὥρισεν ὁ Ἀποστόλες νὰ μὲν ἀπεζεύσῃ τινὰς εἰς τὴν γῆν· καὶ ὅσον ἐσκοτινίασεν, ἀπέζευσαν ἐκεῖνος καὶ οὗλοι οἱ ἄνθρωποι, καὶ ἦρταν εἰς τὴν Λευκουσίαν (4) οὗλοι ἀρματωμένοι ἀπεζά, πρὶν νὰ ξημερώσῃ τῇ α΄ μαΐου (5) ͵αυνζ΄ Χριστοῦ· καὶ ἐμπῆκαν ἀπὲ τὸ τειχόκαστρον ἀπὲ τὴν Ἀρμενίαν· καὶ ἐνῶσάν τους οἱ Ἀρμένιδες καὶ ἀνακατώθησαν· καὶ μοναῦτα ἐσύντυχέν τους ὁ Ἀποστόλες, καὶ ὅσον τὸν ἀγρωνίσαν δὲν ἐμοβίασαν τίποτες· καὶ ἐπῆρεν ὁ Ἀποστόλες ἐκείνους ὁποῦ 'θελεν (6), καὶ ἐπῆγεν εἰς τὸ σπίτι τοῦ μισὲρ Γιάκουμου Γούρη, καὶ ἐνέβησαν ἀπὸ τὴν ὀπίσω (7) μερίαν τοῦ φούρνου, καὶ ἐκατέβησαν καὶ ἀνοῖξαν τὴν πόρτα τοῦ στενοῦ, καὶ ἐνέβησαν οὗλοι ἀπάνω καὶ ἐτσακίσαν ταῖς πόρταις, καὶ ἐνέβησαν εἰς τὴν τζάμπραν ὁποῦ ἐκοιμᾶτον· ὁ μισὲρ Γιάκουμος εἶχεν μέγαν φόβον, καὶ ἐθάρρεν καὶ ἦτον ὁ Τοὺμ Πέτρος,

(1) τιμήν, καὶ οὗλη ἡ Ρόδος, καὶ. (2) του. (3) Τζὰν Περές. (4) Λευκοσίαν. (5) μαγίου. (6) ἔθελεν. (7) ἐκεῖθεν.

διότι ἕνας βαχλιώτης τοῦ μισὲρ Γιάκουμου ὀνόματι Γαβὲς ἐσκότωσεν ἕνα βαχλιώτην τοῦ Τοὺμ Πέτρου· καὶ ἐθάρρησεν ὁ μισὲρ Γιάκουμος πῶς εἶναι ὁ Τοὺμ Πέτρος καὶ ἐπῆγε νὰ πιάση τὸν ἄνωθεν Γαβὲς τὸν δουλευτήν του, καὶ δὲν ἤξευρεν πῶς εἶναι ὁ Ἀποστόλες.

Καὶ ηὖραν τὸν πτωχὸν εἰς τὸ κρεββάτιν του· ἔπιασέν τον ὁ Ἐγκαμοὺς καὶ ὁ Ταφουρὲς καὶ ἔφεράν τον ἔξω εἰς τὴν λότζαν, ἐκεῖ ὁποῦ στέκεν ὁ Ἀποστόλες· καὶ θωρῶντα τὸν Ἀποστολὲν ὁ μισὲρ Γιάκουμος, ἐγονάτισεν ὀμπρός του καὶ ἐζήτησέν του συμπαθίον· καὶ κεῖνος ἦτον τόσον κρουδὲλ καὶ ἔρισεν καὶ ἐσκοτῶσάν τον, καὶ ἐκουρτζέψαν τὸ σπίτιν του. Καὶ ἔφερεν ὁ Ἀποστόλες ἀπὸ τὴν Ρόδον ἕναν καλόγηρον, ὀνόματι φρὲ Σαλπούς, ὅρδινον τοῦ Σανταγουστῆ, ὁ ποῖος ἦτον Κυπριώτης καὶ ἦρτεν ἀπὸ τὸν πάπαν μαντατοφόρος εἰς τὸν ρὲ Τζουάνην, διὰ νὰ πάρη ὁ ρὲ Τζουάνης τὸν ἀδελφοτέκνον τοῦ πάπα γαμπρὸν τὸν μισὲρ Ποῦντζες (1) εἰς τὴν θυγατέραν του τὴν Τζαρλότταν· καὶ ἔπεψέν τον ὁ Ἀποστόλες εἰς τὸ σπίτιν τοῦ σὶρ Τουμᾶς Γούρρη, τοῦ ἀδελφοῦ τοῦ ἄνωθεν μισὲρ Γιάκουμου. Καὶ παγκίνωντα ὁ καλόγηρος καὶ ὁ Μαρτινίκος καὶ πολλοὶ Καταλάνοι εἰς τὸ σπίτιν τοῦ σὶρ Τουμᾶς Γούρρη ἐποῖκαν μέγαν κοῦρσος· καὶ κεῖνος ἐνέβην μέσα εἰς τὴν δράππαν καὶ ἐγλύτωσεν μὲ τὸ θέλημαν τοῦ Μαρτινίκου. Καὶ ἄρχεψε νὰ ξημερώση καὶ ἐπῆγεν τὸ μαντάτον εἰς τὸν ρῆγα, πῶς ὁ Ἀποστόλες ἦρτεν εἰς τὴν Κύπρον καὶ ἐνέβην εἰς τὴν χώραν, καὶ ἐσκότωσεν τὸν μισὲρ Γιάκουμο Γούρην (2) καὶ τὸν ἀδελφόν του, καὶ θέλει νὰ σκοτώση ὅλους τοὺς καβαλλάριδες· καὶ γροικῶντά το ὁ ρήγας ἀνακατώθην καὶ οὖλοι οἱ καβαλλάριδες, καὶ ὥρισεν καὶ ἐσήμανεν ἡ καμπάνα ἄρμε, καὶ ἔτρεξαν οὖλοι (3) ἀντάμα εἰς τὴν αὐλὴν τοῦ ρηγός. Καὶ ὁ Ἀποστόλες ἐσώρευ-

(1) Μποῦντζες. (2) Γούρρη. (3) ἔτρεξεν οὔλη ἡ χώρα.

σεν ὅλους τοὺς 'κλησιαστικοὺς καὶ τοὺς ἀνθρώπους (1) ἀποῦ 'φέρεν (2), καὶ ἐστάθην δυνατὸς εἰς τὴν ἀρχιεπισκοπὴν ὅσ' ὡς που νὰ 'δῇ τὸ πρᾶμαν πῶς νὰ φινιάσῃ, ὅτι ἦτον πολλὰ δισπιργιασμένος καὶ δὲν ἐκουργίαζεν θάνατον· καὶ ἐβγάλαν τὰ πράματα τὰ ἐπῆραν τοὺς δύο ἀδελφούς, τοῦ μισὲρ Γιάκουμου καὶ τοῦ σὶρ Τουμᾶς (3), μέσα εἰς τὸ παλάτιν τῆς ἀρχιεπισκοπῆς, καρτζά, ἀσῆμιν, χρυσάφιν καὶ μεσαρίαις, καὶ ἐστιμιάσαν ϛ' χιλιάδες δουκάτα. Καὶ τὸν πτωχὸν τὸν μισὲρ Γιάκουμον ἐφέραν τον εἰς τὴν ἁγίαν Σοφίαν, ὡς γίον ἕναν διακονήτην καὶ ἐθάψαν τον τῇ α' μαΐου αυνζ' Χριστοῦ.

Καὶ θωρῶντα ὁ ρήγας πῶς ὁ 'Αποστόλες ἦρτεν, καὶ ἐτζάκισεν τὴν χώραν καὶ ἐνέβην καὶ ἐσκότωσεν τὸν βισκούντην, ἐσώρευσεν οὕλους τοὺς καβαλλάριδες καὶ ὁμιλιζίους καὶ ἐκάτσαν εἰς τὴν αὐλήν (4)· καὶ ἀγκάλεσεν ἀπὸ μεγάλης αὐλῆς τὸν Ἀποστόλεν, λαλῶντα πῶς ἔφερεν κουρσάριδες καὶ ἐτσάκισεν τὴν χώραν, καὶ ἐνέβην καὶ ἐσκότωσεν τὸν βισκούντη τῆς χώρας, ἀπὲ τὸν ποῖον θέλω νὰ ἔχω δίκαιον, καθὼς ὁρίζει ἡ ἀσίζα. Καὶ μοναῦτα ὅλοι (5) ἀντάμα ἀποῦ ἀγρωνίζαν τὸ θέλημαν τοῦ ρηγός, πῶς εἰς τὸ κρυφὸν ἀγάπαν τὸν 'Αποστόλε, πᾶσα ἕνας (6) ἦτον νὰ συντύχῃ εἰς τὸ καλλίτερον ἀποῦ ἐμπόρε. Καὶ εἶχεν πολλοὺς καβαλλάριδες ἀποῦ ἐθέλαν κακὸν τὸν Ἀποστόλε, θωρῶντα τὰ πολλὰ κακὰ τὰ ἐπολόμαν· καὶ ἡ αὐλὴ εἶπαν (7) τοῦ ρηγός — ὑψηλότατέ μας ἀφέντη, ἀπὲ τὸ ἀγκάλεμαν τὸ ἐποῖκες διὰ τὸν 'Αποστόλε, δὲν ἦτον μικρὴ φαλία τὴν ἐποῖκεν· διὰ τοῦτον φαίνεταί μας νὰ πέψῃς νὰ τον πιάσῃς ἐκεῖνον καὶ τὴν συντροφιάν του καὶ νὰ τοὺς φέρῃς ὀμπρός σου. Καὶ τοὺς ἄλλους καβαλλάριδες ἐφάνην (8) τους νὰ τοῦ μηνύσῃ ὁ ρήγας νὰ 'ρτῃ ὀμπρός του. Καὶ οὕτως ἐγίνετον. Καὶ

(1) ἀθρώπους. (2) ἔφερεν. (3) μισὲρ Τουμᾶς. (4) ἐποῖκεν αὐλήν. (5) οὗλοι. (6) εἷς. (7) εἶπεν. (8) ἐφανίστην.

